INDEX SCHOLARUM

IN

UNIVERSITATE LITTERARIA CAESAREA DORPATENSI

PER

SEMESTRE PRIUS ANNI MDCCCXXXIX

A. D. XIII JAN. AD D. X. JUN.

HABENDARUM.

INEST NOTATIO DE CODICE MS. HAMBURGENSI, QUI ODYSSEAM CUM SCHOLIIS CONTINET, ET SCHOLIORUM INDE NUNC PRIMUM EDITORUM PARTICULA I, AUCTORE PRELLERO.

Preller

DORPATI

EX OFFICINA ACADEMICA J. C. SCHÜNMANNI.

Meditanti mihi quid huic indici lectionum, primum nunc ad me delato, praefarer venit in mentem praecepti Pindarici, ἀρχομένου δ' ἔργου πρόσωπον χρὴ θέμεν τηλαυγές: in exordio operis aliquid luculenti et magnifice magni, late quod splendeat, collocari debere. Non egomet is sum, cui talia sic in promtu sint: at dabo quod optimum in scriniis esse iudico, quod si non splendidum est, tamen ad ingressionem hanc muneris mei commendandam haud absonum videatur. Dabo inediti aliquid, qualia solent in pretio esse; et augetur pretium meorum, quod pertinent ad principem poetarum, ad Homerum. Incidi enim, brevi ante quam Kiliam reliqui, in codicem ms. bibliothecae publicae Hamburgensis, qui continet Odysseam cum scholiis, quem Chr. Petersen, qui bibliothecae Hamburgensi praefectus est, miserat ad Nitzschium (carum nomen uterque!), qui Odysseam suam, si quid frugi inveniret, inde exornaret. Eundem codicem tradunt olim a Gurlitto ad F. A. Wolfium missum fuisse, et extremis quidem huius temporibus, unde factum videtur ut Wolfius, quae tunc eius fuisse dicitur otiosa negotiositas, parum ei curae tribueret. Deinde cum vir immortalis peregre diem obiit, codex Hamburgensis aliquamdiu delituit et oblivioni abiectus est, donec casu quodam velut denuo repertus bibliothecae Hamburgensi restitutus est.

1

Refero haec ut mihi relata sunt: sed ita accidisse credibile est ut etiam Buttmannum, cum scholia in Odysseam ex variis codicibus in unum corpus compingenda suscepisset idque operosa cum sedulitate perficeret, hic codex lateret: quod magnopere dolendum, cum egregia inde collectioni suae supplementa parare potuisset. Neque recentiori tempore quisquam accuratius de scholiorum Hamburgensium ratione atque condicione inquisivit, praeter quam quod Petersenius meus in libro, quem scripsit de historia bibliothecae Hamburgensis (Geschichte der Hamburgischen Stadtbibliothek, Hamburg 1838) p. 195 sic scribit: „Der Codex von Homers Odyssee (bis Ξ v. 67) auf Baumwollenpapier aus dem zwölften, nach Andern aus dem dreizehnten oder vierzehnten Jahrhundert, ist von einiger Bedeutung. Der Text soll ungenau sein und auch l. V, v. 1—309 fehlen (de hoc iudicio et de defectu v. infra), dagegen die Scholien ausser dem was in den kleinen Scholien und Eustathius steht, kritische Bemerkungen des Aristoteles, Aristarch, Apollodor, Herodian, Porphyrius u. A. enthalten," quibus in margine subiiciuntur haec: „Nach einer im Archiv der Bibliothek befindlichen Untersuchung eines gewissen Marc. Wilh. Müller." Marc. Guil. Muellerus, ut hoc moneam in transcursu, erat Gymnasii Alton. olim subrector, idemque apographum illud Hamburgense codicis Lipsiensis, quod nunc est in manibus Bachmanni, ante Villoisonum tractaverat deque eo disputaverat in Nova Bibliotheca philol. et critica Gotting. Vol. I. fasc. II. an. 1783, specimenque scholiorum illorum ediderat in Boeotiam; v. Fabric. B. Gr. I. p. 399 Harles cf. Villois. Prolegg. p. XLVII. Hic igitur curatius codicem nostrum inspexit; apud ceteros omnes altum de eo silentium est. Bibliothecae Hamburgensi traditus est a. 1687 (v. infra), ut mirere neque Fabricium eum novisse, neque Villoiso-

num, diligentissimum illum codicum Homericorum scrutatorem. Verum haec utut sunt, ego ubi codicem, impulsu maxime Petersenii et Nitzschii, tractare coepi operique instabam, mox duplicem scholiorum rationem esse vidi, ut alterius partis, quae priora codicis folia usque ad pag. 151 occupant, eundem fere fontem esse intelligerem qui est collectionis Ambrosianae et Palatinae, alteram vero partem, quae in posterioribus foliis leguntur, nil nisi excerpta ex Eustathio esse. Illi igitur parti omnem curam dedi, alteram missam feci: illius vero quamquam multa, quin plurima eadem esse sentiebam, quae per Maium et Buttmannum publica sunt, tamen nonnulla etiam deprehendi, quibus codex Hamburgensis ceteris uberior est. Sunt haec ex antiquiore haud dubie fonte ducta, eodem quo librarii Ambrosiani atque Palatini usi sunt; in qua re factum videtur ut alter hoc alter illud enotaret, prout quemque ferebat aut iudicium aut animus aut, qui plurimum in talibus studiis valere solet, caecus casus spatiique ad scholia appingenda dati necessitas. Ita, inquam, contigit mihi ut haud pauca invenirem, quae ad historiam criseos in carmina Homeri ab antiquioribus philosophis et grammaticis exercitatae adumbrandam haud inutilia esse videntur. Quo in opere etsi non ab omni parte mihi satisfeci, cum et lectio scholiorum difficillima esset neque ego in codicibus legendis multum versatus, et instaret insuper tempus larium mutandorum: tamen spero operam meam multis gratam futuram esse, cum impense nunc haec studia a viris doctis foveri soleant, inprimis scholiorum Homericorum studia, ex quo Wolfius et Lehrsius qualis et quanta eorum ad antiquioris grammaticae et criticae historiam persequendam fides sit demonstraverunt. Quod quamquam maxime pertinet ad scholia Iliadis codicis Veneti, tamen neque ea messis, quae ex Odysseae codicibus

pertractandis percipi potest, tam vilis mihi ac poenitenda videtur quam nunc iudicant plurimi. Certe etiamsi Maius nimis confidenter Ambrosiana sua Venetis aequiparavit et eundem utrorumque fontem esse demonstrari posse putavit (A. Mai. Iliad. fragm. etc. praef. p. XXVII; XLII sqq. cf. c. Buttm. Schol. Odyss. praef. p. VI sq.), tamen multa etiam per scholia Odysseae, quantum eorum innotuit, Alexandrinae disciplinae vestigia sparsa esse arguunt cum Ambrosiana, tum Harleiana, refertissima illa quidem notationibus criticis, quibus nunc addenda quae praebet codex Hamburgensis. Omnino, ut dicam quod sentio, parum adhuc studii scholiis Odysseae a viris doctis tributum videtur. Egregium quidem Buttmanni opus est, sed inchoatum illud magis (quod ipse plus semel pronuntiat), quam absolutum. Latet adhuc Harleianorum pars plurima, quae, etsi Porsonus gravissima quaeque ad communem usum edidisse putandus est, tamen, cum optima omnium esse videantur, digna procul dubio sunt quae cum pulvisculo exhauriantur. Latent haud dubie alia in aliis codicibus. Existat igitur utinam aliquis, qui hoc opus perficiat, ut Harleianis integrum editis, iisque completis ex Minoribus, Ambrosianis denuo pertractandis (cf. Buttm. praef. p. VI; X), Vindobonensibus, Palatinis, Hamburgensibus (et ipsis denuo excutiendis), et si quis alius codex complementum aliquod praestare poterit, verumtamen existat qui corpus tandem aliquando plenum atque integrum Scholiorum Odysseae efficiat, quod et Homero et hoc nostro aevo dignum sit. Quod opus si quis susceperit, is non solum de omnibus studiis Homericis egregie merebit, verum id etiam, ni fallor, nanciscetur, ut favorabilior, quam adhuc esse solet, de omni horum scholiorum fide atque condicione existimatio invaleat.

His praemissis iam ipsum opus adgrediendum. Et primum qui-

dem de codice illo Hamburgensi accuratius agam, deinde, ut de ratione eius melius iudicari possit, quatuor priorum librorum variantes lectiones enotabo: denique scholia, quotquot inedita sunt h. e. quae non leguntur apud Buttmannum, publici iuris faciam.

Codex est bombycinus, forma maiori, paginarum 228. Continet Odysseam usque ad rhaps. ξ v. 67, cum scholiis. In fronte libri, postica involucri parte, leguntur haec: „Manuscriptum hoc mutilum donavit bibliothecae nostrae M. Reimarus 1687 m. Jan.“, qui Reimarus est homo ceteroquin ignotus, antiquior gentilis, ut videtur, satis istius nobilis Herm. Sam. Reimari, qui erat gener Fabricii. Unde et quonam modo codex pervenerit ad Reimarum ignoratur. Quod ad aetatem eius attinet, facilius assenserim iis, qui saeculo XIII vel XIV eum assignant, quam qui XII. Textus qui vocatur satis diligenti manu scriptus est nec nisi usitatioribus litterarum compendiis utitur. Singulae codicis paginae habent versus XXV vel XXVI. Deest Odyss. μ, 221 usque ad Odyss. ν, 309 inclus., unde corrigendum quod legitur apud Petersenium l. c. „Der Text soll ungenau sein und auch l. V v. 1 bis v. 309 fehlen.“ Neque ego textum parum accurate scriptum dixerim; imo satis belle atque diligenter scriptus est, neque nimis saepe occurras scripturae mendis vocibusve omissis. Singulae rhapsodiae inscribuntur et titulis vulgaribus et versibus illis rudibus et inficetis, quos repetit editio Ernestiana, velut prima sic: Ἄλφα, θεῶν ἀγορή, Ὀδυσηΐδι Παλλάδι θάρσος, altera: Βῆτ' ἀγορὴν ἔχει, ἤϊα γρηός, πλοῦς μετ' Ἀθάνας, et sic porro.

In variantibus enotandis neglexi omissiones τοῦ ν ἐφελκυστικοῦ (quod in extremis versibus semper negligitur), consonantium simpli-

cium pro duplicatis positiones (velut ἔσομαι solet scribi pro ἔσσομαι, ὅπη pro ὅππη etc.), similia. Usus sum editione stereot. Lipsiae a. 1824.

A.

v. 31 Hamburg ἔπεα πτερόεντ' ἀγόρευεν. — v. 68 αἰέν. — v. 69 οὗ ὀφθαλμὸν et versu sequenti ἀντιθέου Πολυφήμου — ἔσκε — v. 83 πολύφρονα. — v. 110 ἐπὶ κρητῆρσι — v. 148 legitur ante v. 147 — v. 186 ὑπονηΐῳ, non ὑπὸ Νηΐῳ. — v. 242 οἴχετ' — v. 282 ἥν τίς σοι. — v. 287 ἄκουσεις — v. 308 τῷ παιδί — v. 346 τί τ' ἄρ' αὖ φθ. — v. 356 σαυτῆς — v. 373 ὔμμιν. — v. 377 ὀλέσσαι — v. 389 εἴ μοι καὶ ἀγάσσεαι.

B.

v. 26 οὐδέ ποθ' — v. 400 τανηλεγέως — v. 106 ἔπειθε δόλῳ καὶ ἔληθεν 'Αχ. — v. 116 ἐνὶ θύμῳ. — v. 120 ἐϋπλόκαμός τε Μυκήνη — v. 151 πτερὰ πολλά — v. 155 ἔμελλεν — v. 168 ἠδὲ καὶ αὐτοί — v. 170 ἀπειρήτως μαντεύσομαι — v. 189 ἐποτρύνοις — v. 191 deest. — v. 193 ἀσχάλλεις — v. 195 μητέρα ἣν — v. 198 παύσασθαι — v. 211 γὰρ τά γ' ἴσασι — v. 213 διαπρήσσουσι — v. 223 ὅσσ' ἐπέοικε — v. 243 ἔειπας — v. 259 δ' ἀνὰ δώματ' — v. 262 ὅς χθιζός. — v. 271 τοῦ πατρός — v. 298 ἰέναι. — v. 305 ἀλλὰ μάλ' ἐσθιέμεν — v. 366 ἀλλογνώτων. — v. 368 δάσωνται — v. 386 αὖθις — v. 394 ἰέναι — v. 408 'Αχαίους — v. 411 μήτηρ δ' ἐμή — v. 415 ἐκέλευεν — v. 429 διὰ κῦμα.

Γ.

v. 2 *Φαείνῃ* — v. 9 *σπλάγχνα πάσαντο* — *μηρία καῖον* — v. 32 *ἔνθα δὲ* Νέστωρ — v. 33 *κρέα τ᾽ ὤπτων* — v. 45 *σπείσῃ* — v. 78 deest. — v. 80 *ὑπονηΐου* — v. 101 *τῶν νῦν μὲν μνῆσαι* — v. 105 *ἠμέν* — v. 114 *πάντα κε* — v. 117 *ἣν πατρίδα* — v. 137 *ἀγορήνδ᾽ ἐς* — v. 141 *ἑταίρους* — v. 143 *ἐκύδανε* — v. 153 *εἵλκομεν* — v. 163 *ποικιλόμητιν* — v. 166 *γίνωσκον*. Sic etiam *α*, 320 *γίνομαι*, et sic semper. — v. 175 *Φύγωμεν* — v. 182 *ἵστασαν* — v. 203 *μιν ἐτίσατο* — v. 204 *ἐσσομένοισιν ἀοιδήν* — v. 211 *ἔειπας* — v. 246 *ἀθανάτοις* — v. 255 *τόδε* — *ὥς κεν ἐτύχθη* — v. 260 *ἄστεος* — v. 262 *τελέσαντες* — v. 278 ᾿Αθηναίων — v. 280 *ἀγανοῖσι* — v. 283 *σπέρχοιεν* — v. 307 *αἶψ᾽* — v. 323 *οἷς ἑτάροισιν* — v. 346 *τόδ᾽ ἀλεξήσειε* — v. 355 *ὅστις γ᾽ ἐμά* — v. 372 ᾿Αχαίους — v. 438 *κεχάροιτό τ᾽ ἰδοῦσα* — v. 443 *χειρί* — v. 465 Νηληϊάδεω — v. 469 *ποιμένα* — v. 476 *πρήσσωσιν* — v. 479 *ἂν δὲ γυνή* — v. 486 *ἀμφιέποντες* — v. 490 *ὁ δ᾽ ἄρα ξεινήϊα δῶκεν*.

Δ.

v. 14 *εἶχε χρυσῆς* — v. 15 *ὑψιρεφές* — v. 19 *ἐξάρχοντες* — *μέσσους* — v. 38 *ἅμα σπέσθαι οἷ* — v. 52 *ἵζοντο* — v. 115 *ὀφθαλμοῖσιν* — v. 121 *ὑψιρόφοιο* — v. 126 Θήβαις — v. 131 *χρυσῆν* — v. 153 *πυκνόν* — v. 154 *ὀφθαλμοῖσιν* — v. 171 *ἔξοχα πάντων* — Ante v. 219 legitur hic versus: *αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδήτυος ἐξ ἔρον ἕντο* — v. 222 *ἐπεί* — v. 282 *ὁρμηθέντες* — v. 300 *δᾶδας* — v. 309 *ὕπαί* — v. 364 *μ᾽ ἐλέησεν* — v. 399 *ταῦτα* pro *ξεῖνε* — v. 421 *οἷόν τε* — *ἴδηαι* — v. 429 *δόρπον ἄρ᾽ ὁπλ.* — v. 431 deest. — v. 441 *ἔνθα κεν* — 457 *πάρδαλις* — v. 459 legitur ante v. 458

— v. 465 ἐρεείνεις pro ἀγορεύεις — v. 466 πόντῳ pro νήσῳ — v. 484 μύθοισιν pro μιν ἔπεσσιν — v. 494 ἄκλαυστον et ἐπεί κ'εὖ — v. 495 τῶνδε — v. 516 βαρέα — v. 520 τρέψαν — v. 530 φίλους pro φῶτας — v. 579 ἐν δὲ καὶ αὐτοί — v. 585 ἔδοσαν — v. 604 ζειαί τε ἰδ' — v. 608 Ἰθάκη δέ τι — v. 621 δ'ἀνὰ δώματ' — v. 632 ἦ ῥά τε — v. 644 τό κεν ῥέξειε — v. 652 ὑμέας — v. 654 ἤϊθεον — v. 655 θαυμάζων — v. 660 προσέφη — v. 668 γενέσθαι pro φυτεῦσαι — v. 688 ἡμετέρων — v. 707 χρεών — v. 721 γοάωσα — v. 722 Ὀλύμπιοι — ἔδωκαν — v. 742 προσέειπε περίφρων Εὐρύκλεια — v. 757 ὑψιρεφέα — v. 762 κλῦθί μοι — v. 765 με μνῆσαι — v. 775 ἀπαγγείλῃσι — v. 777 τελέσωμεν — v. 780 ἄρ pro οὖν — v. 828 deest — v. 833 φῶς.

Excerpsi haec non quasi aliquid fructus inde futuris Homeri editoribus redundare existimem, cum omnium, qui nunc habentur, codicum Homericorum eadem ratio sit, ut parum inde salutis sperandum videatur, sed Heynium secutus, qui Iliad. Tom. III praef. p. XLV „antiquiores", inquit, „diligentius excuti velim; ceteros in parte aliqua carminis comparare et enotare varietatem satis erit, ut iudicium de bonitate codicis fieri possit." — Jam ad scholia quod attinet, paucis praefandum de universa eorum condicione. Alia sunt interlinearia, quae tamen pauca sunt et nil nisi glossae, plurima sunt in marginibus. Modo omnia iis impleta sunt, modo rarescunt. Lectio eorum perdifficilis est et propter scripturam omnibus litterarum compendiis freqnentem et multis locis mendosam atque lacunosam, et propter id quod foliorum extremitates usu atque vetustate attritae sunt et madore chartaceisque fasciis passim superinductis affectae. Primis paginis scholia respondent textui, deinde ita dissident, ut qui hoc in quaque

pagina continentur versus, eidem a scholiis pluribus paginis ante tractari soleant; tametsi manu (si recte nunc memini Dorpati eorum, quae vidi Kiliae) fere eadem scripta sunt scholia atque textus. Sic est usque ad pag. 151; ibi prorsus novum scholiorum genus incipit, ex Eustathii commentariis passim exscriptum, novicia manu additum, credo post renatas litteras, velut apud Maium Iliad. Ambros. praef. p. XLIV memoratur codex Odysseae saec. XVI, autographum Basilii Chalcondylae, qui item excerpta ex Eustathio ad margines priorum librorum enotavit. Ab recentiore lectore ista adiecta esse vel ex scriptura cernas vel ex hoc, quod pag. 151 sqq. excerpta ex Eustathio nonnisi spatia ab antiquioribus istis scholiis relicta occupant. Mox vero haec prorsus deficiunt, illa unice dominantur. Antiquiora maxime conspirant cum codd. Ambrosianis Q, E, B et cum Palatino; neque non cum minoribus scholiis multa communia habent. Sed cum in ceteris nonnulla propria Hamburgensi sint, tum maxime in rhapsodiis Θ, I, K longe hic reliquis uberior est. Ceterum plurima pars, ut solet esse in Odyssea, eius generis est, quod in universum apte exprimit Heynius Iliad. Tom III praef. p. LXI: „Etiam haec scholiorum classis antiquos grammaticos habet auctores, non vero criticos, sed eius sectae, quae in quaestionibus et disputationibus versata est, quid in poetae narrationibus ac sententiis notabile esset vel reprehensione aut defensione dignum; in hoc genere regnat Porphyrius. Intolerabilis horum hominum est loquacitas in locis communibus, in declaranda poetae prudentia, etsi vulgaribus vitae usibus et sensu communi facile assequenda; eliciunt et accumulant ethica et rhetorica, ad quae sinistro iudicio poetam exigunt et aestimant; sensum poeseos raro videas eos habere; rhetorico artificio poetica metiuntur et aestimant; tum vero argutantur in manifestis

ac perspicuis, nodos quaerunt in scirpo et ineptiunt; etsi interponunt saepe utilia et valde probanda." Quamquam hoc genus non a solo Porphyrio repetendum est, sed longe altius, quum etiam Antisthenes et Aristoteles tales *ἀπορίας* et *λύσεις* scripserint, illis temporibus ingeniosas, nobis nonnunquam submolestas; de quibus multa nova praebet Hamburgensis. Criticae notationes rarius obviae, sed inter eas nonnullae egregiae. Scriptorum locorumque citatorum indicem infra subiiciam, unde apparebit multa etiam in hoc genere nova offerri. Exscripsi ea quae Hamburgensi propria sunt, praeterque haec si quod critici generis erat aut fragmentum scriptoris antiqui laudabatur, breviter hoc, etiamsi legebatur apud Buttmannum, significandum putavi, honori codicis prospiciens, nam solent talia scholiis maxime laudi esse. Denique si Buttmanni editio ex Hamburgensi emendari poterat, quod poterat saepenumero, saniores lectiones paucis notavi. Vitia tacite sustuli neque ut in tali scriptore operae pretium duxi lectiones aperte mendosas repetere, paucis exceptis, si quae adeo mendose scripta erant ut desperandum videretur de lectione emendatiore, aut si quae faciebant ad crisin locumve scriptoris antiqui.

A.

v. 1 — 10 habent scholia, sed de quorum lectione mihi desperandum fuit. Videntur fere eadem esse atque leguntur apud Buttm. de vocibus *ἀνήρ*, *πολύτροπος*, *ἀρνύμενος* etc.

v. 3. Videtur scriptum esse: *Ζηνόδοτος νόον ἔγνω φησὶ ἄμεινον.* Sequentia non potui extricare.

v. 89 *θείω*] *γράφεται θήσω.* Glossa interlinearis.

v. 93. In margine: ἔν τισι βιβλίοις οὐκ εἰσί·

κεῖθεν δ' ἐς Κρήτην τε παρ' Ἰδομενῆα ἄνακτα·
ὁ γὰρ δεύτατος ἦλθεν Ἀχαιῶν χαλκοχιτώνων.

Cf. Buttm. p. 18.

v. 97 sq. προηθετοῦντο κατ' ἔνια τῶν ἀντιγράφων οἱ στίχοι, κατὰ δὲ τὴν Μασσαλιωτικὴν οὐδ' ἦσαν. καὶ ταῖς ἀληθείαις μᾶλλον ἁρμόσειεν καθ' Ἑρμοῦ. ἴδιον γὰρ ἀγγέλων τοιούτοις ὑποδήμασι χρῆσθαι. καὶ ἡ τοῦ δόρατος . . λέξις πρὸς οὐδὲν ψιλῶς κεῖται. — Subest indicium Aristarchi, v. Schol. Venet. Il. ε, 746. 747: ἡ διπλῆ, ὅτι ἐντεῦθεν εἰς τὴν Ὀδύσσειαν μετάκεινται, cf. schol. vulg. Odyss. v. 99 ἀθετοῦνται μετὰ ἀστερίσκων, ὅτι ἐν τῇ τῆς Ἰλιάδος καλῶς.

v. 103 δήμῳ] τόπῳ, ὄνομα τόπου, παρὰ τὸ συναθροίζεσθαι ἐν αὐτῷ τοὺς ἐν τῇ πόλει καὶ βουλεύεσθαι.

Ibid. Ὀδυσῆος] Ὅμηρος μὲν ἐτυμολογῶν τὸν Ὀδυσσέα πεποίηκε πρὸς τὼν Αὐτόλυκον λέγοντα, πολλοῖσιν γὰρ ἔγωγε ὀδυσσάμενος τόδ' ἱκάνω (τ, 407). Σιληνὸς δὲ ὁ Χῖος ἐν δευτέρῳ μυθικῶν ἱστοριῶν (ἐστὶ δὲ δύο βιβλία) Ἀντίκλειάν φησι τὴν Ὀδυσσέως μητέρα ἐγκύμονα ὁδεύουσαν παρὰ τὸ Νήριτον, ὅπερ ἐστὶ τῆς Ἰθάκης ὄρος, ὕσαντος πολὺ τοῦ Διὸς ὑπ' ἀγωνίας καὶ φόβου καταπεσοῦσαν ἀποτεκεῖν τὸν Ὀδυσσέα, καὶ διὰ τοῦτο τούτου τȣ̃ ὀνόματος ἀποτυχεῖν, ἐπειδὴ κατὰ τὴν ὁδὸν ὗσεν ὁ Ζεύς. Minus plene eadem ap. Buttm. p. 17, cf. Tzetz. ad Lycophr. v. 786.

v. 130. Lacuna Buttmanni sic explenda: πάντα οὖν ἐλέγχει τὸ σῶφρον τοῦ νέου, τὰ τοῦ λόγου καὶ τὰ τοῦ τόπου, τό τε ἔγχος κτλ.

v. 171. Ἀρίσταρχος ὀπποίης τε. ἄλλως. οἰκειότερον ταῦτα ἀπ' Εὐμαίου ἂν λέγοιντο, διὸ ἔν τισιν οὐκ ἐφέροντο. Eadem. Harl.

v. 186 *ὑπονηΐῳ*] *οὕτω καλουμένῳ ῥείθρῳ παρὰ τὸ πολλοὺς χειμαῤῥοὺς ῥεῖν εἰς αὐτὸν ἀπὸ τοῦ Νηρίτου. Νήριτον γὰρ τὸ Νήϊόν τινες λέγουσιν. οἱ δέ φασιν ἕτερον εἶναι τὸ Νήϊον τοῦ Νηρίτου. Ἀρίσταρχος δὲ Νήϊόν φησι παρὰ τὸ κεῖσθαι τῷ Ῥείθρῳ* (corrigendum videtur *παρακεῖσθαι τ. Ῥ.*). *ἔστι δὲ ὄνομα τοῦ ἐν Ἰθάκῃ λιμένος ἀπὸ τοῦ συμβεβηκότος, ἀπὸ τοῦ συῤῥεῖν εἰς αὐτὸν χειμαῤῥοὺς πολλοὺς ἀπὸ τοῦ Νηΐου ὄρους.*

Ibid. *ὑπονηΐῳ ὑλήεντι*] *διαφέρει Νήριτον καὶ Νήϊον κτλ.*, ut apud Buttm., ubi desunt antecedentia. Cf. Eustathius p. 1409, 32.

v. 262. *Διὰ τί οὐδαμοῦ τῆς ποιήσεως* (h. e. per Iliadem) *χριστοῖς βέλεσιν εἶπε χρῆσθαι τοὺς πολεμίους εἴτε τοὺς πολεμοῦντας, ἀλλ' οἱ πολλοὶ τῶν τοξευομένων διασώζονται καί τῶν Τρώων καὶ τῶν Ἑλλήνων, ὥσπερ Διομήδης μὲν καὶ τὸν πόδα καὶ τὸν ὦμον βληθείς, Εὐρύπυλος δὲ τὸν μηρόν, Γλαῦκος δὲ τὴν χεῖρα; καὶ διὰ τί ἐν μὲν τῇ Ἰλιάδι οὐδὲ ὡς τόξῳ χρώμενον ποιεῖ τὸν Ὀδυσσέα, ἀλλ' ὅτε ἐπὶ τὴν κατασκοπὴν ἐξορμᾷ σὺν Διομήδῃ „Μηριόνης δ' Ὀδυσῆϊ δίδου βιὸν ἠδὲ φαρέτρην"* (*κ*, 260), *ὡς ἂν μηδὲ τόξον ἔχοντι οἰκεῖον, ἐν μέντοι τῇ Ὀδυσσείᾳ „φάρμακον ἀνδροφόνον διζήμενον" ἀπελθεῖν πρὸ τοῦ ἀπόπλου τοῦ εἰς τὴν Ἴλιον αὐτόν φησι, „ὄφρα οἱ εἴη ἰοὺς χρίεσθαι"* (*α*, 261) *καὶ τυχεῖν .. παρὰ Ἀγχιάλου, „ἀλλὰ πατήρ οἱ δῶκεν ἐμός"* (*α*, 264) *καὶ ὁμοίως αὐτὸν ἐν τῇ Ὀδυσσείᾳ τόξου χρώμενον ποιεῖ ἐν τῷ ἀπόπλῳ· λέγει γάρ· „αὐτίκα καμπύλα τόξα καὶ αἰγανέας δολιχαύλους εἱλόμεθ' ἐκ νηῶν"* (*ι*, 156), *αὐτός τε παρὰ τοῖς Φαίαξιν ὑπάρχων αὐχεῖ ἐφ' ἑαυτοῦ λέγων· „εὖ μὲν τόξον οἶδα ἐΰξοον ἀμφαφάασθαι, πρῶτός κ' ἄνδρα βάλοιμι" καὶ τὰ ἑξῆς* (*ϑ*, 215). *ῥητέον οὖν ὅτι ταῦτα πάντα πρὸς κατασκευὴν τοῦ μεγίστου ἀγῶνος, τῆς μνηστηροφονίας, αὐτὸς μὲν γυμνα-*

ζόμενος ἐν . . . . ἵνα φανῇ τηρῆσαι τὴν ἰδίαν ἕξιν· αὐχεῖ δὲ πάντων προφερέστατος εἶναι τῶν ἀνθρώπων (Odyss. ϑ, 221), ἵνα μὴ ἐξαίφνης οἰηθῶμεν τοξότην αὐτὸν ἄριστον ἐν τῇ μνηστηροφονίᾳ γενέσθαι· ἀπιθάνου δὲ ὄντος πάντας τοὺς τιτρωσκομένους εἰς ὁτιδήποτε οὖν μέρος τοῦ σώματος παραχρῆμα διαφθείρεσθαι, πεφαρμακευμένους προκατασκευάζει τοὺς ὀϊστούς, ἵνα συμβαίνῃ λέγειν αὐτῷ· „βάλλε τιτυσκόμενος, τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον" (χ, 116). ὅταν οὖν τὰ βέλη ἐν τῇ Ἰλιάδι κοινοτέρως πικρὰ καὶ πευκεδανὰ λέγῃ καὶ ἐχεπευκῆ, πάντως διὰ τοῦ φαρμάκου κεχρῖσθαι ἀκουστέον· οὐδαμοῦ γὰρ τοῦτο ἐν τῷ Ἰλιακῷ πολέμῳ ἐπεσημήνατο, διὰ δὲ τὸ τὰς ἐξ αὐτῶν πληγὰς ἐπωδύνους οὔσας, καθὰ καὶ τὸν πόλεμον πευκεδανὸν ἔφη καταχρηστικῶς, ἐπώδυνον βουλόμενος ἐμφανίσαι· „ἠέ ποθι πτολέμοιο μέγα στόμα πευκεδανοῖο" (Il. κ, 8). — Longe haec pleniora quam quae de eadem dubitatione ex codd. E. Q. leguntur apud Buttm. Contra quae ad vs. 259 solvetur ἀπορία, cur Ulysses venenum acceperit ab Anchialo, non acceperit ab Ilo, eius integrior forma constat ex codd. E. Q.

v. 259 Μερμερίδαο] Ἰάσων ἅμα τῇ Μηδείᾳ ἐν Ἐφύρᾳ τῆς Θεσπρωτίας παραγενόμενος ἴσχει Φέρητα, οὗ ὁ Ἶλος, οἵτινες ἐβασίλευσαν Θεσπρωτίας, ὡς ἱστορεῖ Ἀπολλόδωρος ὁ Ἀθηναῖος· διὸ φαρμάκων ἐστὶν ἔμπειρος (sc. ὁ Ἶλος). Sunt haec ex libris deperditis; nam Bibl. I, 9, 28 alia res narratur.

v. 283 ἢ ὄσσαν ἀκούσῃς ἐκ Διός] τὰς γὰρ φήμας εἰς Δία ἀναφέρουσιν, ὅθεν καὶ Πανομφαίου Διὸς ἱερόν, εἰς ὃ πᾶσα φήμη καὶ κληδὼν ἀναφέρεται· κληδὼν δὲ καὶ φήμη περὶ ἀγνοουμένων εἰώθασι καλεῖν.

B.

v. 20. *Δόρπον τὸ καθ' ἡμᾶς δεῖπνον κτλ.*, v. **Buttm.**, **ubi post:** *τὴν δὲ δευτέραν δεῖπνον, τὸ καθ' ἡμᾶς λεγόμενον ἄριστον* **ex Hamburgensi inserenda sunt haec:** *καὶ ἔστι κατὰ τὸ ἔτυμον δείπονον, καθὸ δεῖ πονεῖν, ὅπερ ἐστὶν ἐνεργεῖν κτλ.* **Fragmentum Aeschyli nil discrepat ab iis, quae leguntur ap. Buttm.**

v. 70 *σχέσθε φίλοι] οἷον ἀντίσχεσθέ μοι· διὸ καὶ Ἀριστοφάνης γράφει . . . . ., ὅ ἐστι καὶ ὑμεῖς ὑποσυμπαθήσατε. Ἀρίσταρχος δὲ κτλ. — πάνδεινον γὰρ τὸ μηδὲ πένθους ἐξουσίαν ἔχειν. καὶ ἄλλως. ἐπιφθόνως λίαν ἐν μέρει χάριτος αἰτεῖται τὴν ἐξουσίαν τοῦ πένθους, ὅτι ἐχρῆν πάντας δακρύειν· καὶ μόνον (ἐάσατε) πενθεῖν ἐμὲ ἀδεῶς· ἢ ἀντίσχεσθε, βοηθήσατε· τὸ γὰρ φίλοι ἀνάρμοστον κατὰ τῶν μνηστήρων, ἵνα ᾖ ἀπόσχεσθε.*

v. 152 *ὄσσοντο] ὄσσετο θυμός, ἀντὶ τοῦ ἐμαντεύετο, καὶ ἔτι μᾶλλον τῆς ὄσσης. τὸ ὄσσεσθαι αὐτὸς ἐδήλωσεν ἐπὶ τῶν μνηστήρων λέγων· „ἐς δ' ἰδέτην πάντων κεφαλάς, ὄσσοντο δ' ὄλεθρον·“ ἐπ' ἄλλου ἐξηγήσατο εἰπών· „Ξάνθε, τί μοι θάνατον μαντεύεαι“* (Il *τ*, 240): *τὴν δὲ ὄσσαν ὅτι θεία φωνὴ ἐξηγεῖται λέγων· „ὄσσαν ἀκούσῃς ἐκ Διός“* (Od. *α*, 282). *λέγει δὲ αὐτὴν καὶ κληδόνα· „ἤλυθον, εἴ τινά μοι κληηδόνα πατρὸς ἐνίσποις“* (Od. *δ*, 317). *κληδὼν δὲ διὰ τὸ κλέος διδόναι καὶ φέρειν· „ἢ ὄσσαν ἀκούσῃς, ἥτε μάλιστα φέρει κλέος ἀνθρώποισιν“* (Od. *α*, 283). *καὶ αὐτὸς ὁ Τηλέμαχος· „πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι, ἥν που ἀκούσω“* (Od. *γ*, 83) *καὶ „ᾤχετο πευσόμενος μετὰ σὸν κλέος, ἤν που ἔτ' εἴης“* (*ν*, 415). *καὶ ἡ μεγάλη καὶ ἔνδοξος φήμη κληδών, μέγα κλέος· „πεύθετο γὰρ Κύπρονδε μέγα κλέος, οὕνεκ' Ἀχαιοὶ ἐς Τροίην νήεσσιν·“* (Il. *λ*, 21). . . . . *προαγορεύει· „θείη δὲ μιν ἀμφέχυτ' ὀμφή“* (Il. *β*, 41), *„ἔνθα πα-*

νομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί“ (Il. ϑ, 250), ἐπειδὴ ὄσσα καὶ ὀμφὴ Διὸς ἄγγελοί εἰσιν· ἔστι δέ τις ἄλλη ἡ δήμου φήμη, ἡ ὑπὸ τοῦ δήμου διαδιδομένη περί τινος ἀγγελίας φήμη. καὶ πάλιν· „χαλεπὴ δ᾽ἔχε δήμου φῆμις“ (Od. ξ, 239), καὶ „ἀγορὴ πολύφημος“ (Od. β, 150), ἐν ᾗ πολλὰ φημίζεται· ἤδη δὲ φήμην καὶ τὴν κληδόνα που εἴρηκε· „φήμην δ᾽ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρίς“ (Od. υ, 105): ὥστε ὄσσα μὲν καὶ ὀμφὴ καὶ κληδὼν ἐπὶ τοῦ αὐτοῦ, φήμη δὲ καὶ ἐπὶ τῆς θείας κληδόνος καὶ ἐπὶ τῆς ἀνθρωπίνης διαδόσεως· οἴεται γὰρ θείαν ὄπα ὡς φωνὴν Ὅμηρος τοὺς μάντεις ἀκούειν· „ὡς γὰρ ἐγὼν ὄπ᾽ ἄκουσα θεῶν“ (Il. η, 53), ταύτην δὲ αὖ δίδοσθαι μηδενὸς προκατάρξοντος ἀνθρώπου ἐκ τῆς οἰκείας βουλῆς· „ὄσσα δ᾽ἄρ᾽ ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντη, μνηστήρων στυγερὸν θάνατον καὶ κῆρ᾽ ἐνέπουσα“ (Od. ω, 414). περὶ γὰρ τὸ ὄσσα τὸ ἐννέπουσα. τὸ μὲν οὖν ὀσσόμενος σημαίνει τὸ εἰρημένον.

v. 245 ἀνδράσι καὶ πλεόνεσσι] ἔδειξεν οὖν ὅτι γαστριμαργίας ἕνεκεν ἐπράσσετο τὸ πᾶν. τινὲς δὲ γράφουσιν, ἀνδράσι καὶ παύροισιν· ἄμεινον δὲ πλεόνεσσι γράφειν, ἵν᾽ ᾖ ἐπὶ τῶν κολυόντων· εἰ καὶ πλείονες, φησίν, ἐκώλυεν, περιέσονται κωλυούμενοι (sic). Cf. Buttm.

v. 424. Ap. Buttm. pro ληνοῦ scrib. λίνου.

Γ.

v. 1 extr. scrib. καὶ ἐν Ἰλιάδι ἡ Θέτις ἕωθεν φέρει τῷ Ἀχιλλεῖ τὰ ὅπλα.

v. 4. Νηλεὺς μαχεσάμενος μετὰ Πελίου καὶ Ἰολκοῦ (sic) ἦλθεν εἰς Μεσσήνην καὶ τὴν Πύλον ἔκτισε Μεσσηνίων χώραν παρασχόντων. ἱστορεῖ Ἑλλάνικος.

v. 8 *εἵατο καὶ προὔχοντο*] ὁ μὲν Ἀρίσταρχος προεῖχον τῷ θεῷ, οἷον παρεῖχον· οἱ δὲ πρὸ αὐτῶν κατεῖχον, ἐπὶ τὸ σφάξαι.

v. 11 οἱ περὶ Ζηνόδοτον ἦσαν (sic) ἀείραντες· τότε δὲ σειούσιν, ἐπειδὰν χαλάσαι θέλωσι τὸ ἄρμενον.

v. 43. H. διαλέγεται.

v. 68 κατὰ μὲν Ἡσίοδον ὁ ἐν Γερήνοις ἀνατραφείς. κρεῖσσον δὲ κτλ.

v. 73. **H. conspirat cum cod. Q. Illustrantur inde quae leguntur ad v. 71.**

v. 128. **Scrib.** καὶ ὅλος στρατὸς διαφθείρεται.

v. 171. **Alcmanis fragmentum sicuti ap. Buttm.**

v. 188. **Eratosthenis fragmentum cum hac varietate,** χρησθεὶς δὲ ὑπὸ Ἑλένου, ἔθνος ὃ ἂν ἴδοι οἶκον ἐκ σιδήρου θεμελιῶν, τοῖχον δ' ἐκ ξυλίνων καὶ ὀρόφου ἐξερεοῦ, ἐκεῖ μένειν κτλ.

v. 216 ἀπορεῖ ὁ Ζηνόδοτος πῶς ἐστὶν ὁ λόγος κτλ.

v. 231 οὐ χρή σε ἐπὶ τῇ βραδύτητι δυσχεραίνειν· οὐδὲ γὰρ Ἀγαμέμνονα τὸ ταχέως νοστῆσαι συνήνεγκεν· ὁ λόγος δὲ καὶ ὁ νοῦς, ᾧ εἵμαρται τὸ ζῆν, δύναται ὁ θεὸς σῶσαι κινδυνεύοντα, ᾧ δὲ εἵμαρται τὸ ἀποθανεῖν, οὐδὲ θεοὶ δύνανται παρὰ μοῖραν βοηθῆσαι.

v. 244 ἠδὲ Φρόνιν] Φρονῶ Φρόνις, ὡς κλονῶ κλόνις. Ἀριστοφάνης τὸ Φρόνιν νῦν μὲν ἐπὶ τῆς Φρονήσεως κτλ.

v. 267. **Demetrii Phalerei locus ut ap. Buttm., at minus plene.**

v. 293. **Crates ut ap. Buttm. ex Schol. Vulg.**

v. 307 ἐπαιδεύετο ἴσως ἐκεῖ διὰ τὸ τοὺς φιλοσόφους καὶ ῥήτορας κατοικεῖν ἐν Ἀθήναις· οἱ δὲ νεώτεροι παρὰ Στροφίῳ αὐτὸν τετράφθαι φασίν, ὅθεν καί, ἂψ ἀπὸ Φωκήων, γράφεται.

v. 309 *ἤτοι ὁ τὸν κτείνας*] ἔν τισι τῶν ἐκδόσεων οὐκ εἰσίν. ὁ δὲ Ἀρίσταρχός φησιν ὅτι διὰ τούτων παρεμφαίνει ὅτι συναπώλετο Αἰγίσθῳ Κλυταιμνήστρα. τὸ δὲ εἰ καὶ ὑπὸ Ὀρέστου, ἄδηλον εἶναι. οὐδὲ τὰ περὶ τὴν Ἐριφύλην φησὶν εἰδέναι αὐτόν. **Deest ap. B.**

v. 341 *γλώσσας δ' ἐν πυρὶ βάλλον*] . . . . ἀλλὰ καὶ οἱ Ἴωνες τοῦτο ἐποίουν. Ζητησείεν ἄν τις . . . Ἀπίων δὲ, ὅτι ἡ γλῶσσα κράτιστον ἐν ζῴῳ, τὰ δὲ κράτιστα τοῖς θεοῖς ἀπένεμον. Ἀντίπατρος δέ, ὅτι χρὴ αὐτὴν παύειν (Ms. πείθεσθαι) πρὸς κοίτην ἰόντας. Πρώταρχος δέ, ὅτι χρὴ ἐκ τοῦ συμποσίου ἐχεμυθεῖν, ὅθεν καὶ παροιμίαν λέγεσθαι, Μισῶ μνάμονα συμπόταν. ἡμεῖς δέ, ὅτι τὰ ῥηθέντα τοῖς θεοῖς ἀνετίθεσαν· ὡς γὰρ ἐπὶ μαρτύρων τῶν θεῶν διελέγοντο. ὥσπερ καὶ κατὰ τὸ οὖς τῶν ἐκπωμάτων ἔσπενδον ὀττευόμενοι τὰς ἀκοὰς τῶν θεῶν, οὕτως καὶ τὰς γλώσσας ἔβαλλον ὀττευόμενοι τὰ ῥηθέντα εἰρῆσθαι πρὸς τοὺς θεούς. οἱ δέ, ὅτι τοῖς χθονίοις τὰς γλώσσας ἀπήρχοντο, τοὺς βλασφήμους λόγους καὶ τὰς λοιδορίας ἐξ ἑαυτῶν διὰ τούτων ἐκκαθαίροντες. οἱ δέ, ὅτι τῷ Ἑρμῇ „πυμάτῳ σπένδεσκον, ὅτε μνησαίατο κοίτου“ (Od. η, 138). διὰ τοῦτο οὖν καὶ τὰς γλώσσας λόγῳ ἐκάρπουν. **Apud B. solum testimonium Apionis adhibetur.**

v. 382 ἦνιν, παρὰ τὸ ἔνος, ὃ σημαίνει τὸν ἐνιαυτόν.

v. 392 κρήδεμνον, τὴν ἀλοιφήν, τὸ πῶμα μεταφορικῶς τοῦ πίθου. **Sequuntur haec:** Διὰ τί τοὺς ἀνθρώπους πρὶν φαγεῖν ποιεῖ τὰς χεῖρας ἀπονίζεσθαι, τοὺς δὲ θεοὺς οὐδαμῶς; διὰ τί πρὸς δεῖπνον μὲν ἀπονίζονται, μετὰ δὲ τὸν δεῖπνον οὐδαμῶς; θεοὶ μὲν οὐκ ἀπονίζονται· καθαροὶ μὲν γάρ. μετὰ τὸν δεῖπνον οὐ ποιεῖ ἀνθρώπους ἀπονίζεσθαι τὰς χεῖρας, ὅτι οὐδὲ ὄψοις τοιαύτοις ἐχρῶντο,

ὥστε δεῖσθαι ἀπονίψεσθαι, καὶ ὅτι παυσαμένου τοῦ δείπνου ἔσπενδον, μετὰ δὲ σπονδὰς οὐ χρὴ ἀπονίζεσθαι.

v. 430 ἐποίπνυον· ἐνήργουν· καὶ ἐπόνουν. παρὰ τὸ πονῶ ποπνύω καὶ ποιπνύω.

v. 444 ἀμνίον εἶχε] τὸ αἱμοφόρον ἀγγεῖον. παρὰ τὸ αἷμα ἁμνίον καὶ ἀμνίον. ἄλλως. ἔστι δὲ τῶν ἅπαξ εἰρημένων ἡ λέξις, σημαίνει δὲ τὸ ἀγγεῖον ὅπου τὸ αἷμα τοῦ ἱερείου δέχονται, καί ἐστι κατὰ τὸ ἔτυμον ἀμένιον, στερητικὸν τοῦ μένους ἤτοι τῆς ψυχῆς. Ἀττικοὶ σφάγιον αὐτὸ καλοῦσι.

v. 464 τόφρα δὲ Τηλέμαχον λοῦσεν] ἀδύνατον γὰρ τῷ Νέστορι . . παρθένον εἶναι (lib. ὄντι) θυγατέρα. λύεται δ' ἐκ τοῦ ἔθους. ἔφαμεν γὰρ μὴ εἶναι (lib. ὄντι) παρθένου ἔργον τὸ λούειν, ὡς Ἀρίσταρχος οἴεται. cf. Schol. Odyss. ζ, 215; 221, quae leguntur etiam in Hamburgensi.

v. 486 σεῖον ζυγόν] Ἀριστοφάνης γράφει θεῖον, ἀντὶ τοῦ ἔτρεχον, εἶτα ζυγὸν ἀμφὶς ἔχοντες. ὁ δὲ Καλλίστρατός φησιν, ὥσπερ ἐπὶ τῆς οὐριοδρομούσης νηὸς τὸ τῆς ἐμφαίνεται διὰ τῆς πανημερίας „τέταθ' ἱστία ποντοπορούσης“ (Od. λ, 11), οὕτω καὶ (Ms. οὐχ) ἐπὶ τοῦ συνελομένου δρόμου τῶν ἵππων τὴν ἀδιάλειπτον ἄνεσιν τῆς ὁδοῦ σημαίνει τὸ „σεῖον ζυγόν“. Similia ap. B.

Δ.

v. 1 οἱ δ' ἷξον] παρὰ γὰρ τὴν ἱστορίαν φασὶν εἶναι τὸν γενόμενον ἤδη ἐν τῇ Λακωνικῇ (αἱ γὰρ Φηραί, ἔνθα Διοκλῆς ᾤκει, τῆς Λακωνικῆς εἰσί), τὸν οὖν γενόμενον ἐν τῇ Λακωνικῇ αὖθις ὡς μὴ γενόμενον ἐπισημαίνεσθαι ἄτοπον. ἔστι δὲ ἡ λύσις ἐκ τῆς λέξεως. τάχα γὰρ τῶν χωρίων ὀνόματα τίθεται καὶ ἐπὶ τῶν προηγουμένων

πόλεων, ὥστε τὴν Σπάρτην οὐκ ἀπεικότως Λακεδαίμονα λέγει, καθάπερ καὶ τὴν Ἴλιον Τροίαν „ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν" (Il. Φ, 544). καὶ ἀνεστραμμένως τὴν Ἀττικὴν εἴρηκεν Ἀθήνας „ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ' ἄκρον Ἀθηνέων" (Od. γ, 278). **Deest ap. B.**

v. 5 ῥηξήνορος] ἀνδρείου, τοῦ διὰ τῆς ἠνορέης, ὅ ἐστιν ἀνδρείας, ῥήσσοντος τὰς τάξεις τῶν πολεμίων. ἄλλως. Σοφοκλῆς Ἑρμιόνη φησὶν ἐν Τροίᾳ τυγχάνοντος ἔτι Μενελάου ἐκδοθῆναι τὴν Ἑρμιόνην ὑπὸ Τυνδάρεω τῷ Ὀρέστῃ. κατὰ δὲ ὑπόσχεσιν ἥκοντος Νεοπτολέμου ἀφαιρεθῆναι τὸν Ὀρέστην τῆς γυναικός. πάλιν δὲ αὐτὴν συνοικῆσαι Ὀρέστῃ Νεοπτολέμου ἐν Πυθίᾳ ἀναιρεθέντος, καὶ τότε τὸν Τισάμενον γεννῆσαι. ἄλλως. Ἀγαμέμνων Ἀχιλλεῖ τὴν θυγατέρα ὑποσχόμενος ἐν ταῖς Λιταῖς ἐπειδὴ τὰ μὲν ἄλλα δῶρα ἀπέδωκε, τὰ δὲ τοῦ γάμου διέπεισεν, Ἀχιλλέως ἀποδοθέντος (l. ἀποθανόντος) εἰκότως ἐναλλαγὴ μόνον προσώπων γέγονεν.

v. 9. Μυρμιδόνων προτὶ ἄστυ] ἣν Ὅμηρος μὲν Φθίαν λέγει, οἱ δὲ νεώτεροι Φαρσαλίαν.

v. 12 ἐκ δούλης] οἱ μὲν κύριον τὸ δούλης, οἱ δὲ Στειρηδάης, Στειρηδάη δὲ τὸ κύριον αὐτῆς. φασὶ τοὺς τρεῖς στίχους μὴ εἶναι τοῦ Ὁμήρου, ἀλλὰ τοῦ Ἀριστάρχου. **Scholion novum, quod ex parte illustratur iis quae habet cod. Q.**

v. 16 γείτονες μὲν νῦν οἱ ἀστυγείτονες, ἔται δὲ ψιλῶς, ἵν' ᾖ οἱ πολῖται. οὕτω γὰρ γίνεται μεγαλοπρεπῶς ὁ γάμος.

ἠδὲ ἔται] τοὺς ἔτας . . . . οἱ μὲν γὰρ ἑταῖροι οἱ προσοικειωθέντες κατὰ φιλίαν, οἱ δὲ φίλοι οἱ οἰκεῖοι καὶ κατὰ γένος προσήκοντες, ὥσπερ καὶ ὁ ἔτης καὶ ὁ γείτων. ἔται μὲν γὰρ οἱ συνέστιοι, γείτονες δὲ οἱ πλησίον μένοντες, „γείτονες ἠδὲ ἔται". καὶ ὅτι ἑταίρους

συνδιαίτους οἶδεν, „ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής“ (Il. ρ, 577) καὶ „ἐρίηρας ἑταίρους“ (Od. ι, 100). τοὺς διὰ τὰς χρείας φίλους καὶ „Ἕκτορι δ'ἦεν ἑταῖρος“ (Il. σ, 251), παραλιπὼν ἐνταῦθα τὸ εἶδος. ὁμοίως δ'αὖ „σοὶ δ'ὁδὸς οὐκέτι δηρὸν ἀπέσσεται, ἣν σὺ μενοινᾷς“ (Od. β, 285) καὶ „τοῖος γάρ τοι ἑταῖρος ἐγὼ πατρώϊός εἰμι, ὅς τοι νῆα θοὴν στελέω καὶ ἅμ' ἕψομαι αὐτός. — ἐγὼ δ'ἀνὰ δῆμον ἑταίρους αἶψ' ἐθελοντῆρας συλλέξομαι“ (ib.). καὶ μεταφέρων ἐκ τοῦ ἐϋκνήμιδας Ἀχαιοὺς λέγει „ἤδη μέν τοι ἐϋκνήμιδες ἑταῖροι“ (Od. β, 402), καὶ ἐκ τοῦ καρηκομόωντας Ἀχαιούς „εὗρον ἔπειτ' ἐπὶ θινὶ καρηκομόωντας ἑταίρους“ (Od. β, 408). φίλος δὲ υἱὸς καὶ φίλη μήτηρ καὶ φίλα γυῖα καὶ φίλαι χεῖρες. καὶ διακρίνων „εἰ μετὰ οἷς ἑτάροισι δάμη Τρώων ἐνὶ δήμῳ ἠὲ φίλων ἐν χερσίν, ἐπεὶ πόλεμον τολύπευσεν“ (Od. α, 237) οὐκ ἄν, φησίν, ἐλύπησεν εἰ ἐν τῇ Τροίᾳ μετὰ τῶν ἑταίρων αὐτοῦ ἀπώλετο (διὰ τῶν) πολεμίων, ἢ εἰ κατειργασάμενος καὶ ἐπανελθὼν ἐν ταῖς χερσὶν τῶν οἰκείων ἐτελεύτησεν. καταχρώμενος δὲ καὶ τοῦ Φόβου τὴν Φύζαν ἑταίραν λέγει· „Φύζα Φόβου κρυόεντος ἑταίρη“ (Il. ι, 2), καὶ ἄνεμον „ἴκμενον οὖρον ἵει πλησίστιον, ἐσθλὸν ἑταῖρον“ (Od. λ, 7). καὶ πάλιν ὅλην τὴν οἰκειότητα δηλῶν φησί „ὄφρα ἴδῃ πρότερόν τε πόσιν πηούς τε φίλους τε“ (Il. γ, 163), τὸν ἄνδρα, τοὺς συγγενεῖς, τοὺς οἰκείους· διὸ ἐπιζητεῖ ἡ Ἑλένη τοὺς ἀδελφούς.

v. 40 κάπῃσιν] αἱ φάτναι, καὶ γίνεται παρὰ τὸ πατῶ, τὸ ἐσθίω, πάτη, καὶ ἐν ὑπερβιβασμῷ τάπη, καὶ τροπῇ τοῦ τ εἰς κ κάπη.

v. 56 εἴδατα] ἡδύσματα μεμυρισμένα, σκευαστὰ παρ' ἡμῖν λεγόμενα.

v. 84. Κράτης Ἐρέμνους γράφει κτλ., v. Buttm.

v. 89 ἐπηετανός, τὸ εἰς πολὺ καὶ εἰς κόρον. γίνεται παρὰ τὸ

ἄτω τὸ κορέννυμι ἄτανος, καὶ ἐν πλεονασμῷ τοῦ ε ἐάτανος, καὶ ἐπαυξήσει τοῦ ε εἰς η ἠέτανος, καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπηέτανος.

v. 232. **Versus Hesiodi habentur sic:** καὶ Ἡσίοδος . . . ἐστὶν τοῦ ἑταῖρον εἶναι τοῦ Ἀπόλλωνος . . Παιήονα λέγων. „Εἰ μὴ Ἀπόλλων . . ὑπὲκ θανάτοιο σαῶσαι, ἢ αὐτὸς Παιήων, ὃς πάντα φάρμακα οἶδεν."

v. 248. Δέκτῃ] ὁ κυκλικὸς ὀνοματικῶς ἀκούει, παρ᾽ οὗ φησὶ τὸν Ὀδυσσέα τὰ ῥάκη λαβόντα μετημφιέσθαι (cod. μετημφίασεν), ὃς οὐκ ἦν ἐν ταῖς κλισίαις τοιοῦτος οἷος Ὀδυσσεὺς ἀχρεῖος. Ἀρίσταρχος δὲ δέκτῃ μὲν ἐπαίτῃ κτλ. **Cf. Polemonis Perieg. fragmenta p. 16 sq.**

Sequuntur hae ἀπορίαι: Διὰ τί ὁ Τηλέμαχος εἰς Λακεδαίμονα ἐλθὼν οὐκ ἐνέτυχε τῷ Ἰκαρίῳ, καίτοι ἄλογον ἐλθόντα τῷ πατρὶ τῆς μητρὸς μὴ ἐντυχεῖν; οὐδαμοῦ εἴρηκεν ὡς ἐν Λακεδαίμονι ᾤκουν, ἀλλὰ μᾶλλον πλησίον αὐτῆς ἦσαν. ἡ γοῦν Ἀθηνᾶ ἐν τῷ ὕπνῳ ἐπίστασά φησιν· „ἤδη γάρ ῥα πατήρ τε κασίγνητοί τε κέλονται" (ο, 16). καὶ τὸ μὲν ὀνείροις μάρτυσι χρῆσθαι ἴσως ἄπιστον, αὐτὴ δὲ ἡ Πηνελόπη πρὸς τὸν Ὀδυσσέα τὰ καθ᾽ ἑαυτὴν ἀφηγουμένη φησί· „νῦν δ᾽ οὔτ᾽ ἐκφυγέειν δύναμαι γάμον οὔτε τιν᾽ ἄλλην μῆτιν ἐφευρίσκω, μάλα δ᾽ ὀτρύνουσι τοκῆες" (**Od.** τ, 157). ὅθεν καὶ ἄλλη λύσις γίνεται πρὸς τοὺς ἀποροῦντας διὰ τί πρὸς τοὺς γονέας οὐκ ἀποστέλλει τοὺς ἑαυτῆς ἡ Πηνελόπη εἰς βοήθειαν, ὅτε ὁ παῖς ἐκινδύνευσεν, ἀλλὰ πρὸς τὸν Λαέρτην βούλεται ἀποστεῖλαι. φαίνεται γὰρ ἠλλοτριωμένη τοῖς γονεῦσι ὡς ἀναγκάζουσι γήμασθαι. διὸ καὶ ἐξήρτηται ἀπὸ τῆς τοῦ Τηλεμάχου προσηκούσης μνήμης ὁ Ἰκάριος τοῦ τε Ὀδυσσέως καὶ τῆς Πηνελόπης. τοσοῦτον δὲ εἴρηται ὑπὸ τοῦ

Τηλεμάχου. „οἱ πατρὸς μὲν ἐς οἶκον ἀπερρίγασι νέεσθαι, Ἰκαρίου“ (β, 52) καὶ „κακὸν δέ με πολλ' ἀποτίνειν Ἰκαρίῳ“ (β, 133). αὐτὸς μὲν γὰρ . . μὴ βουλομένην καταλιπεῖν τοῦ ἀνδρὸς τὸν οἶκον ἀναγκάζειν οὐκ εὐπρεπὲς ἡγεῖτο. πάντα οὖν κατὰ τὴν προαίρεσιν τῆς Πηνελόπης ἀνῆψε τοῦ γάμου τὸ τέλος. **Partem habet Buttm. v. ad v. 3. At cf. schol. ad** α, **285 et** β, **52, quae item leguntur in Hamburgensi.**

v. 336. νεβροὺς κοιμήσασα] Ἀριστοφάνης ἀμφοτέροισι λέγει ἐπὶ τῆς ἐλάφου καὶ τοῦ νεβροῦ. ὁ γὰρ Ἀριστοτέλης φησὶν ἓν τίκτειν τὴν ἔλαφον, σπανίως δὲ δύο.

v. 447. Διιπετέος] Πολλῶν λεγομένων κτλ — καὶ σφοδρῶν ὑετῶν. τινὲς διιπετῆ, ἐπεὶ καὶ Αἰγύπτιοι κτλ — γυναικός. τὸ δὲ ὅλον ἐπὶ τῷ ὑετῷ πληροῦται. καὶ Νυμφαὶ κοῦραι Διός. τὸν δὲ Νεῖλον Αἴγυπτον ὀνομάζει· ὁ δὲ Ἡσίοδος ὡς νεώτερος Νεῖλον αὐτὸν οἶδεν καλούμενον.

v. 499. Αἴας — δάμη] ἐν νηυσίν, ὅ ἐστιν ἐν πλῷ, Αἴας ὁ Λοκρὸς καὶ Ἀγαμέμνων. ἀμφότεροι δὲ ἐν νόστῳ ἀπώλεσάν φησί, πάροσον καὶ Ἀγαμέμνων ἀγροῦ ἐπ' ἐσχατιῆς (δ, 517), οὐ φθάσας οἴκαδε ἀνελθών.

v. 500. γυραί, πέτραι εἰσὶν ἢ αἱ μεγάλαι πέτραι αἱ ἐξέχουσαι τῆς θαλάσσης, αἱ λεγόμεναι χοιράδες.

v. 504. λαῖτμα, τὸ κῦμα λίαν ἀΐσσον. τὸ δὲ Ποσειδάων μεγάλ' ἔκλυεν αὐδήσαντος οὐκ ἔστι μάλ' ἔκλυεν, ἀλλὰ μεγάλα αὐδήσαντος, μεγαλορημονήσαντος ἔκλυεν. τίς οὖν ὁ ὑπερήφανος λόγος; . . . „ἀέκητι θεῶν φυγέειν μέγα λαῖτμα θαλάσσης“ ἀπ' αὐτοῦ δέ τι ἐσχάτισεν (sic), τὸ δὲ μέρος αὐτῆς κατέβαλεν εἰς θάλασσαν. τοῦ Πορφυρίου.

v. 563. Ἠλύσιον πεδίον, παρὰ τὸ λύσιν εἶναι τῶν κακῶν, ἢ παρὰ τὸ τοὺς λυσσῶντας ὀνεῖσθαι. ἔστι δὲ εἶδος βοτάνης ἐν ταῖς ὁδοῖς φυομένη, πορφυρέαν ἔχουσα φυήν.

v. 572. πόρφυρε κιόντι, ἐν βάθει ἐμερίμνησε. ἡ μεταφορὰ ἀπὸ τῶν βαθυτάτων φρεάτων, ἅτινα διὰ τὴν ἄγαν βαθύτητα πορφυρίζονται καὶ μέλανα φαίνονται.

v. 612. μεταστήσω, μετασταθμήσω. τὸ γὰρ στῶ στήσω καὶ ἐπὶ σταθμοῦ λέγεται· ὅθεν γίνεται καὶ ὁ σηκὸς στηκός τις ὢν καὶ δηλῶν σταθμόν τινα, ὅθεν καὶ ἡ ἀντισήκωσις ἀντιστάθμησίς τις οὖσα.

v. 627. Γράφε ἔχεσκον.

v. 644. θῆτές τε δμῶές τε] οἱ μίσθιοι, παρὰ τὸ θῶ, τὸ εὐωχοῦμαι. ὁ μέλλων θήσω καὶ ἀποβολῇ τοῦ ω θής, τοῦ θητός. ὁ κανὼν τὰ εἰς ης ὀνόματα [διὰ τοῦ η γράφει], μονοσύλλαβα δέ, διὰ τοῦ η κλίνονται, οἷον θὴς θητὸς καὶ σὴς σητός.

v. 667. ἄρξει καὶ προτέρω κακὸν ἔμμεναι] τὸ γενόμενον καὶ προσωτέρω προκόψει ὥστε κακὸν εἶναι. τὸ δὲ προτέρω ἀντὶ τοῦ ἐπὶ πλέον. ἔστι δὲ συγκοπὴ τοῦ προσωτέρω. ἄλλως. παρέλκει τὸ ἔμμεναι. ὁ δὲ νοῦς, καὶ εἰς τοὔμπροσθεν ἄρξεται τὸ κακὸν προχωρεῖν αὐτοῦ καὶ μέχρις ἡκῶν τῆς τόλμης τὸ κακὸν φθάσει, τουτέστι καὶ ἡμῶν αὐτῶν ἅψεται.

v. 671. ἐν πορθμῷ] στένωμα τὸ μεσόγαιον. διαφέρει δὲ ἰσθμὸς καὶ πορθμός. ἰσθμὸς μὲν λέγεται τὸ ἀναμέσον θαλάσσης πεδίον, πορθμὸς δὲ τὸ ἐναντίον.

v. 676. βυσσοδόμευον] κρυφίως ἐβουλεύοντο, ἐκ τοῦ βυσσόν, ὃ σημαίνει τὸ ἔνδον, καὶ τοῦ δόμος.

v. 719. μινύριζον, μεθ᾽ ἡσυχίας ἐφύμνουν, παρὰ τὸ μύρω, τὸ

ὀδύρομαι, καὶ κατὰ ἀναδιπλασιασμὸν μιμύρω, καὶ μινύρω τροπῇ τοῦ $\bar{\mu}$ εἰς $\bar{\nu}$, καὶ μινυρίζω.

v. 794. ἄψεα, τὰ βουλεύματα, ἐκ μεταφορᾶς τῶν δεσμῶν. κυρίως γὰρ ἄψεα τὰ δεσμὰ λέγουσι.

v. 807. θεοῖς ἀλιτήμενος, ἡμαρτηκὼς εἰς θεούς. ἄλλως. τὸ ἐναντίον προσφιλής. τὸ δὲ ἀλιτημένος εἰ μὲν παροξύνεται, παρακείμενός ἐστι κατὰ συστολὴν τῆς ἀρχούσης, εἰ δὲ προπαροξύνεται, ἐνεστώς ἐστι αἰολικός, ὡς ἀλαλήμενος καὶ ἀκαχήμενος.

v. 846. ναύλοχοι, οἱ εὔδιοι καὶ καλοί· καὶ γίνεται παρὰ τὸ ναῦς καὶ τὸ λόχω, τὸ κοιμῶμαι· ἐν ᾧ αἱ νῆες ἀναπαύονται.

E.

v. 1. Ἠὼς δ' ἐκ λεχέων] Δευτέρα αὕτη περὶ τοῦ Ὀδυσσέως θεῶν ἐκκλησία· ἡ μὲν γὰρ πρώτη βουλὴ περὶ τοῦ σώζεσθαι Ὀδυσσέα, αὕτη δὲ περὶ τοῦ πῶς. τὸ αὐτὸ κατὰ μὲν τὴν πρώτην ἐκκλησίαν ὁ Ζεὺς παρεῖχεν ἀφορμὴν τῇ Ἀθηνᾷ αὐτὸς ἐναρχόμενος τοῦ λόγου, νῦν δὲ Ἀθηνᾶ κατάρχεται καὶ οὐκ ἐκεῖνα λέγει περὶ τοῦ σώζεσθαι αὐτόν „ἀλλά μοι ἀμφ' Ὀδυσῆϊ δαΐφρονι δαίεται ἦτορ, δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει“ (Od. α, 48), ἀλλὰ τῶν πολιτῶν καταβοᾷ ὅτι τοσοῦτον ἀμνημονοῦσιν τοῦ ἄρχοντος, ὥστε καὶ τῷ υἱῷ ἐπιβουλεύειν αὐτοῦ. ἐν μέσῳ δὲ κατετέθη τὰ περὶ Ὀδυσσέως.

v. 47. εἵλετο δὲ ῥάβδον] Οὐδέν φασιν ὄφελος ἔνθαδε τῆς ῥάβδου ὥσπερ ἐν Ἰλιάδι πρὸς τὸ κατακοιμίσαι τοὺς πυλωρούς. οὐ συνορῶσι δὲ ὅτι ἴδιά εἰσι τινῶν θεῶν φορήματα, ὡς εἴ τις μέμφοιτο ὅτι Ποσειδῶν εἰς Αἰθιοπίαν πορευόμενος ἔχει τὴν τρίαιναν. ἄλλως. ὀρθότητα λόγου σημαίνει ἡ ῥάβδος, τοὺς μὲν νήφοντας κήλει, τοὺς δὲ

εικῆ ἐῤῥιμμένους ὀρθοῖ καὶ ψυχὴν παραγομένην παύει, ἐκλελυμένας δὲ ἐγείρει. ἄλλως. κατὰ τὰς κοινὰς ἐννοίας Ἀθηνᾷ μὲν ἔγχος, Ποσειδῶνι δὲ τρίαιναν, Ἑρμείᾳ δὲ ῥάβδον παρατίθησι. ὁ λόγος γὰρ τοὺς μὲν λυποῦντας καταπραΰνει, τοὺς δὲ χαλίφρονας μεριμνητὰς λόγων ἐργάζεται. ἐκ τοῦ Ἡρακλείτου. καὶ μὴν καὶ ἡ Καλυψὼ τὴν πειθὼ τῶν ποικίλων παρ' Ὀδυσσέως λόγων Ἑρμῆν προσηγόρευσε, μόγις μέν, ἀλλ' ὅμως καταθέλξαντος αὐτῷ τὸν ἔρωτα τῆς νύμφης, ἵν' εἰς Ἰθάκην προπεμφθείη. διὰ τοῦτο ὄρνιθι προσομοιούμενος Ἑρμῆς ἐλήλυθεν ἀπ' Ὀλύμπου· πτερόεντα γὰρ τὰ ἔπη κατὰ τὸν Ὅμηρον καὶ τάχιον οὐδὲν ἐν ἀνθρώποις λόγου. δεῖ δὲ ἡμᾶς οὐδὲ τὰ μικρὰ παροδεύειν, ἀλλὰ καὶ δι' ἐκείνων τὴν λεπτὴν ἐξετάζειν Ὁμήρου φροντίδα. τὸ γὰρ Ἡμέρας καὶ Ὠρίωνος ἐρωτικὸν πάθος οὐδ' ἀνθρώποις εὐσχήμον ἠλληγόρησεν „ὡς μὲν ὅτ' Ὠρίων' ἕλετο ῥοδοδάκτυλος Ἠώς" (Od. ε, 121). παρεισάγει γὰρ αὐτὸν ἔτι νεανίαν ἐν ἀκμῇ τῷ σώματος ὑπὸ τοῦ χρεὼν πρὸ μοίρας συνηρπασμένον. ἦν δὲ παλαιὸν ἔθος τὰ σώματα τῶν καμνόντων, ἐπειδὰν ἀναπαύσηται τοῦ βίου, μήτε νύκτωρ ἐκκομίζειν μηθ' ὅταν ὑπὲρ γῆς τὸ μεσημβρινὸν ἐπιτείνηται θάλπος, ἀλλὰ πρὸς βαθὺν ὄρθρον, ἀπύροις ἡλίου ἀκτῖσιν ἀνιόντος. ἐπειδὰν οὖν εὐγενὴς νεανίας ἅμα κάλλει προέχων τελευτήσῃ, τὴν ὄρθριον ἐκκομιδὴν ἐπευφήμουν Ἡμέρας ἁρπαγήν, ὡς οὐκ ἀποθανόντος, ἀλλὰ δι' ἐρωτικὴν ἐπιθυμίαν ἀνηρπασμένου. καθ' Ὅμηρον δέ φασιν, Ἰασίων, ἀνὴρ γεωργίας ἐπιμελούμενος καὶ δαψιλῶς ἀπὸ τῶν ἰδίων ἀγρῶν καρποὺς λαμβάνων εἰκότως ἀπὸ τῆς Δήμητρος ἔδοξεν ἠγαπῆσθαι. διὸ Ὅμηρος οὐκ ἀσελγεῖς ἔρωτας ἱστορεῖ θεῶν οὐδ' ἀκολασίας, σημαίνει δὲ τὰς εὐαγεστάτας Ἡμέραν τε καὶ Δήμητραν τοῖς εὐσεβῶς ἐρευνᾶν ἐθέλουσι φυσικῆς ἀκριβῆ θεωρίαν ἀφορμὴν χαρίζεσθαι. — Eadem minus plene et disiecte apud

Buttm., v. ad ε, 47; 85; 121. De Heraclito ne fucum tibi faciat librarius cf. Heraclid. Allegor. Hom. p. 492 Gale.

v. 66. *σκῶπες, σκαιοὶ τὴν ὄπα ὄρνιθες· καὶ ἕτερα μεγαλόγλωσσα τὰς αἴθυιάς φασι.*

Ibid. *σκῶπες παρὰ τὸ σκαιὰν ὄπα ἔχειν ἢ παρὰ τὸ ἐν τῇ σκαιᾷ ἢ ὡς τῇ νυκτὶ τὴν ὦπα ἔχειν.*

v. 72. *τὸ ἴον εἶδος βοτάνης πλατυφύλλου ὅμοιον σελίνου.*

v. 93. *κέρασσε δὲ νέκταρ ἐρυθρόν.*] *εἰ μηδὲν ἄλλο πίνουσιν οἱ θεοὶ ἢ τὸ νέκταρ, διὰ τί αὐτῷ ἡ Καλυψὼ τῷ Ἑρμεῖ κεράσασα δίδωσιν; εἰ γὰρ κεκέρασται σὺν ὕδατι, οὐ μόνον τὸ νέκταρ, ἀλλὰ καὶ ὕδωρ πίνουσιν. καίτοι, φησίν, ψιλὴν ἀμβροσίαν παρέθηκεν, „κέρασσε δὲ νέκταρ ἐρυθρόν“. λύων οὖν ὁ Ἀριστοτέλης τὸ κέρασσε, φησίν, ἤτοι τὸ μῖξαι τὸ ἐγχέαι ἄλλο ἄλλῳ ὑγρῷ δηλοῖ, τὸ ἐγχέαι ἄμφω δηλοῖ τὸ κεράσαι. νῦν οὖν τὸ κέρασσε δὲ νέκταρ ἐρυθρὸν οὐ τὸ μῖξαι δηλοῖ, ἀλλὰ ψιλῶς ἐγχέαι.*

v. 121. Excerptum ex Euphorione uti ap. Buttm. De Orionis fabula praeter eos quos laudat Buttm. cf. Arsen. Violet. p. 490 ed. Walz.

Ibid. *ὡς μέν*] *ὁ μὲν ἀντὶ τοῦ διό. ὁ δὲ νοῦς, ὥσπερ οὖν ὅτε Ὠρίωνα ἔλαβεν ἡ Ἡμέρα.*

v. 130. *τὸν μὲν ἐγὼν ἐσάωσα*] *ὅρα τὴν δικαιολογίαν, ὅτι ὃν ἔσωσα, εἰμὶ δικαία τοῦτον κατέχειν. ὑμεῖς δὲ διαφθείραντες ἄλλως βουλεύεσθε.*

v. 182. *Ἦ δὴ ἀλιτρός γ᾽ ἐσσὶ καὶ οὐκ ἀποφώλια εἰδώς*] *τῷ Ὀδυσσεῖ Ἀθηνᾶ μὲν ἐμαρτύρησεν φιλεῖσθαι αὐτὸν καίπερ „δύστηνον ἐόντα, οὕνεκ᾽ ἐπητής ἐσσι καὶ ἀγχίνοος καὶ ἐχέφρων“* (Od. ν, 331). *Καλυψὼ δὲ ἰδοῦσα τὸ δύστηνον αὐτὸν ἐόντα, ὅτ᾽ „ἄλλοι μὲν πάντες*

ἀπέφθιθον ἐσθλοὶ ἑταῖροι, τὸν δ' ἄρα δεῦρ' ἄνεμός τε φέρων καὶ κῦμ' ἐπέλασσεν οἶον" (Od. ε, 110), καὶ διὰ τοῦτο ἐξηγήσατο πῶς δύστηνον λέγει. πάλιν „ἦ δὴ ἀλιτρὸν" ὄντα. πῶς οὖν ἀλιτρός τε ὁ αὐτὸς καὶ ἀποφώλια εἰδότος καὶ τοῦ ἀγχίνου καὶ ἐχέφρονος; καὶ πῶς ὁ ἀλιτρὸς εἴρηται; ῥητέον οὖν ὅτι εἰς ὅρκον προκαλουμένου τὴν Καλυψὼ τοῦ Ὀδυσσέως „μήτι μοι αὐτῷ πῆμα κακὸν βουλευσέμεν ἄλλο", φησὶν ἐκείνη ἀλιτρὸν ὄντα, τουτέστι διαμαρτάνοντα τῆς ἀληθείας καὶ σφαλλόμενον, καίπερ οὐκ ἀπαίδευτα εἰδότα. τὸν γὰρ ἀπαίδευτον οὐκ ἀπεικὸς ὄντα σφάλλεσθαι, τὸν δὲ πεπαιδευμένον θαυμαστὸν ὄντα σφαλῆναι. θαυμάζουσα οὖν λέγει „ἦ δὴ ἀλιτρός ἐσσί", ἀντὶ εἶς ἄρα σφαλερός, καίπερ οὐκ ἀπαίδευτος ὤν. τὸ δὲ ἀμφίβολον ἐποίησεν ὁ πλεονασμὸς τοῦ τε καὶ ἔλλειψις τοῦ περ. ῥηθεὶς γὰρ οὕτω „ἦ δὴ ἀλιτρός ἐσσι, καίπερ οὐκ ἀποφώλια εἰδώς", οὕτως ἂν εἴη ὁ αὐτός. τὸ ἐπητὴς δ' ἐστὶν παρὰ τὸ ἔπος γέγονεν, ὥσπερ παρὰ τὸν λόγον λόγιος. λόγιος δὲ ὁ πεπαιδευμένος καὶ τῷ λόγῳ καὶ τῷ ἔπει χρῆσθαι δυνάμενος διὰ τὴν παίδευσιν, λόγῳ δὲ οὐ τῷ προφορικῷ μόνῳ, ἀλλὰ καὶ τῷ ἐνδιαθέτῳ. ὁ δ' αὐτὸς ἂν εἴη ἄριστος ἐν μύθοις, ὥσπερ ἀγχίνους καὶ ἐχέφρων ὁ ἐν βουλῇ ἄριστος. καὶ γὰρ ἀγχίνοια καὶ φρόνησις συνήρτηται λογιότητος. καὶ ἐξηγεῖται συλλαβὼν λογιότητα καὶ ἀγχίνοιαν καὶ φρόνησιν ἐν οἷς φησὶ πρὸς τὸν αὐτόν· „ἐπεὶ σὺ μέν ἐσσι βροτῶν ὄχ' ἄριστος ἁπάντων βουλῇ καὶ μύθοισιν" (Od. ν, 296). ὁ γὰρ ἄριστος ἐν βουλῇ ὁ φρόνιμος καὶ ἀγχίνους, ὁ δὲ ἄριστος ἐν μύθοις ὁ ἐπητὴς καὶ λόγιος. τοιοῦτος δ' ἂν εἴη ὁ οὐκ ἀποφώλια εἰδώς.

v. 246. τέρετρα, τὰ ὀρθὰ ξύλα οἷον στήμονος τάξιν ἐπέχοντα.

v. 248. γόμφοισιν δ' ἄρα τῆνγε καὶ ἁρμονίῃσιν ἄρασσεν (sic)]

ὡς ἄν τις εἴποι ἁρμόζοντα κατεσκεύασεν καὶ πρὸς ἄλληλα συγκατάγων ἐσκέψατο εἰ ἁρμόζοι ἀλλήλοις. τὸ δὲ ἑξῆς συνέκλεισεν καὶ κατεγόμφωσεν. διὰ γὰρ τοῦ ἄρασσε τὸ τέλεον τῆς ἁρμογῆς κατέστησεν. γόμφοισι δὲ ἄρασσεν ἀντὶ τοῦ κατεγόμφωσεν, ἁρμονίῃσιν ἄρασσεν ἀντὶ τοῦ συνήρμοσε καὶ συνέκλεισε.

v. 249. ἔδαφος νηὸς τὸ κατώτατον κύτος τῆς νηός, ἣν νῦν καλοῦσι γαστέρα.

v. 281. εἴσατο δ' ὡς ὅτε ῥινόν] τὴν βύρσαν, ὡς τὸ ὑποδεέστερον το (scrib. ὑπὸ δ' ἔστρωτο, Il. κ, 155) ῥινὸν βοός, ὡσανεὶ δέρμα βοὸς ἐφηπλώθη τοῖς ὕδασιν, οὕτως εἶδεν τὰ ὄρνεα (l. ὄρεα). τινὲς δὲ ῥινόν φασι τὴν ἀσπίδα κακῶς. οἱ δὲ ἐρινὸν τὸν καρπὸν τῆς ἀγρίας συκῆς. ὁ μέντοι Ἀρίσταρχος ἐρινὸν αὐτὴν τὴν συκῆν κατὰ μεταβολὴν τοῦ γένους, ὡς ὁ δίφρος τὸ δίφρον. οὐδετέρως δὲ λέγεται ὁ καρπός, ἀρσενικῶς δὲ τὸ δένδρον ἐρινός, ὥσπερ ἡ κέδρος θηλυκῶς τὸ φυτόν, τὸ δὲ κέδρον οὐδετέρως τὸν καρπόν. Ἀρίσταρχος δὲ ἐρινον αὐτὴν τὴν συκῆν κατὰ μεταβολὴν τοῦ γένους. τὸν γὰρ καρπὸν μὴ νοεῖσθαι, ἐπεὶ βραχύς ἐστι πάνυ.

v. 283. Antimachi testimonium ut ap. Buttm.

v. 302. γράφε ἀναπλῆσαι.

v. 337. αἰθυίῃ δ' εἰκυῖα] τινὲς εἰς τὸ εἰκυῖα στίζουσιν, ἵν' ᾖ πετομένη ἀνῆλθεν ἐκ τῆς λίμνης. οὐ τῷ σώματι δέ, ἀλλὰ τῷ τάχει τῇ αἰθυίᾳ εἰκυῖα, οὐ μεταβαλοῦσα τὸ σῶμα πρὸς τὸ ὄρνεον, ἀλλὰ πρὸς τὴν ἀνάδυσιν ἡ εἰκών. ἄλλως. προσκείσθω δὲ καὶ τὸ „ἡ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα“ (v. 334). ζητεῖ γὰρ ὁ Ἀριστοτέλης διὰ τί Καλυψὼ καὶ τὴν Κίρκην καὶ Ἰνὼ αὐδηέσσας λέγει μόνας. πᾶσαι γὰρ ἄλλαι φωνὴν εἶχον. καὶ λῦσαι μὲν οὐ βεβούληται, μεταγράφει δὲ ποτὲ μὲν εἰς τὸ αὐλήεσσα, ἐξ οὗ δηλοῦσθαί φησιν ὅτι μονώδεις

ἦσαν, ἐπὶ δὲ τῆς Ἰνοῦς αὐδήεσσα· τοῦτο γὰρ πάσαις ὑπῆρχεν αὐταῖς καὶ μόναις. πᾶσαι γὰρ ἐπὶ γῆς ᾤκουν. μήποτε δὲ τὸ αὐδήεσσα οὐ τῇ φωνῇ μόνῃ χρῆσθαι δηλοῖ, ὡς τὸ „αὐδήεντα δ' ἔθηκεν" (Il. τ, 407), σημαίνει δὲ καὶ τὸν ἔνδοξον καὶ ἐπίφημον. καὶ ἑκάστη δὲ τούτων ἔνδοξος, ὥσπερ ἡ Ἰνώ, ὅτε ἐν ἀνθρώποις ἦν, ἔνδοξος καὶ ἐπίφημος, „ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα."

v. 371. κέληθ' ὡς ἵππον] κέλητα ἵππον λέγει τὸν ἄζυγον, τὸν καταμόνας ἐλαυνόμενον.

v. 385. πρὸ δὲ κύματ' ἔαξεν] δοκεῖ μάχεσθαι τῷ ἐπιφερομένῳ κτλ — τινὲς δὲ μεταγράφουσι „πρὸ δὲ κύματ' ἔαγεν."

v. 418. ἠϊόνας τε παραπλῆγας] ὀξυτόνως τὸ παραπλήξ. παραπλῆγας δὲ τὰς μὴ ῥαδίως πλησσομένας διὰ τὸ μὴ ἀντικρὺς διαιρεῖν τῷ κύματι, ἢ τὰς μὴ κατὰ τὸ ἐναντίον, ἀλλ' ἐκ πλαγίου πλησσομένας.

ἠϊόνας παραπλῆγας] παραπλησιάζουσας τῇ γῇ, οὐκ ἐξ ἐναντίου πλησσομένας ὑπὸ τῶν κυμάτων.

v. 432. ὡς δ' ὅτε πουλύποδος] καθὼς δὲ ἐκ θαλάσσης πολύποδος ἑλκομένου πυκνοὶ καὶ συνεχεῖς λίθοι πρὸς τὰς κοτύλας συνέχονται.

v. 445. πολύλλιστον] εὔχεται τῷ ποταμῷ ὡς ἂν ἑκάστου ἔχοντος δαίμονα. ὁ δὲ καὶ ἐν ταῖς κρήναις οἶδεν θεάς, ἃς νύμφας καλεῖ „Νύμφας κρηναῖαι, κοῦραι Διός" (Od. ρ, 240) καὶ ἄλλαι „Νύμφαι ὀρεστιάδες, κοῦραι Διός" (Il. ζ, 240). οὕτω πεπληρῶσθαι θείων δυνάμεων Ὅμηρος ἡγεῖται πάντα.

v. 476. ἐν περιφερομένῳ (sic)] πάντοθεν κατοπτευομένῳ. γράφε γεγαότας.

v. 490. Fragm. Aeschyli ut in ceteris Mss.

Z.

v. 54. *ἐρχομένῳ ξύμβλητο μετὰ κλειτοὺς βασιλῆας*] οἱ καλούμενοι διὰ τὸ διαπρέπειν εἰς τὰς ἀγοράς. ἐπιφέρει γάρ· „ἵνα μιν κάλεον Φαίηκες ἀγαυοί“, καὶ περὶ τοῦ Τηλεμάχου· „ἀλλὰ ἕκηλος Τηλέμαχος τεμένη νέμεται καὶ δαῖτας ἐΐσας δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν· πάντες γὰρ καλέουσι“ (Od. λ, 185). πανταχοῦ γὰρ καλεῖται.

v. 138. *τρέσσαν δ' ἄλλυδις ἄλλη*] πᾶσα γὰρ νεότης διὰ ἀπειρίαν ἔμφοβος, ἐξαιρέτως δὲ ἡ θήλεια. μᾶλλον δὲ εἰκὸς αὐτὰς ἐν τρυφῇ τεθραμμένας διὰ τὸ ἄνθος (l. τοῦ ἀνδρὸς) καταπλαγῆναι.

v. 201. *οὐκ ἔσθ' οὗτος ἀνὴρ διερὸς βροτὸς*] ἀνιηρὸς θνητὸς ζῶν οὐδὲ γενήσεται. οὕτω δὲ τὸν ζῶντα . . . . . Καλλίστρατος δὲ γράφει . ., ὅ ἐστιν ἐπίπονος, παρὰ τὴν δύην. **Quae desunt possunt suppleri ex iis, quae leguntur ap. Buttm.**

v. 204. *οἰκέομεν δ' ἀπάνευθε*] ὅτι σαφῶς ἐνταῦθα ἐκτετοπισμένην που καὶ ἐσχάτην τὴν τῶν Φαιάκων χώραν ὑφίσταται. ἄλλως. ἀποροῦσι πῶς οἱ ἐν Κερκύρᾳ οἰκοῦσι, Φαίακες, λέγουσι „οἰκέομεν ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.“ **Cf. Lehrs de stud. Arist. p. 254.**

v. 244. *αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις*] δοκοῦσιν ἀπρεπεῖς οἱ λόγοι παρθένῳ εἶναι καὶ ἀκόλαστοι κτλ — πρὸς ἀρετὴν ψυχῆς, **cum testimonio Ephori, ut in cod. Ambros. E.** ἄλλως. αἲ γὰρ ἐμοί. εἴθε τις ἀνήρ μου εἴη κεκλημένος ἢ αὐτῷ τῷ Ὀδυσσεῖ . . . ἄλλως. ἐπαινεῖ Ἔφορος τὸν λόγον κτλ, **ut in cod. Ambr. Q.**

v. 258. H. ἀπίνυτος.

v. 262. H. ξυνίει ἔπος. τὰ δὲ λοιπὰ διὰ μέσου.

v. 263. *καλὸς δὲ λιμὴν*] ὥστε δύο λιμένας ἔχειν. τὸ δὲ „νῆες

δ' ὁδόν" τὴν δίοδόν φησι τοῦ λιμένος. „εἰρύαται", φυλάττουσι τὴν ὁδὸν καὶ ἑλκυσμεναί εἰσιν ἢ φράττουσι τὴν εἴσοδον.

v. 269. πείσματα καὶ σπείρας (sic)] πείσματα τὰ ἀπόγεια σχοινία, παρὰ τὸ πείθεσθαι αὐτοῖς τὴν ναῦν. σπεῖρα δὲ οἱ μεγάλοι κάλοι, παρὰ τὸ σπεῖραι καὶ κεῖσθαι. ἢ σπεῖραι, δι' ὧν ἕλκονται αἱ νῆες, ἢ τὰ σχοινία, δι' ὧν δεσμεύονται αἱ τροχιλίαι.

v. 310. τὸν παραμειψάμενος] ὡς φιλοικτίρμονα τὴν θήλειαν κελεύει παρακαλέσαι.

v. 318. αἱ δ' εὖ μὲν τρώχων] Καλλίστρατος αἱ δ' εὖ μὲν τρεχέτην. τὸ δὲ πλίσσοντο βάδην διέτρεχον, ὥστε τὸ ὅλον εἶναι, εὖ μὲν ἐτρόχαζον, εὖ δὲ βάδην ᾔεσαν. ἐπαινεῖ τοίνυν καὶ τὸν δρόμον καὶ τὴν τῶν ποδῶν κίνησιν.

εὖ δὲ πλίσσοντο]. **Ut cod. Ambros. Q. et Palat. Etiam glossa Hippocratea comparet:** Ἱπποκράτης δὲ πλίγμα τὸ μεταξὺ τῶν μηρῶν διάστημα κτλ.

v. 327. καινῶς ἡρμήνευσε τὸ δός με φιληθῆναι καὶ ἐλεηθῆναι ὑπὸ Φαιάκων. „δός μ' ἐς Φαίακας φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν." τὸ γὰρ δὸς ἐν ταῖς εὐχαῖς κεῖται. „δὸς μὴ Ὀδυσσῆα πτολιπτόρθιον οἴκαδ' ἱκέσθαι" (Od. ι, 530). καὶ μεταλαβὼν εἰς τὸ ὀπάζειν· „Νέστορι μὲν πρώτιστα καὶ υἱάσι κῦδος ὄπαζε. αὐτὰρ ἔπειτ' ἄλλοισι δίδου χαρίεσσαν ἀμοιβήν, δὸς δ' ἔτι Τηλέμαχον καὶ ἐμὲ πρήξαντα νέεσθαι" (Od. γ, 57). „ἀλλὰ ἄνασσ' ἵληθι, δίδωθι δέ μοι κλέος ἐσθλόν" (γ, 380), ἀντὶ τοῦ φιληθῆναι καὶ ἐλεηθῆναι.

H.

v. 13. δόρπον ἐκόσμει] ἑσπερινὴν τροφὴν δεῖ νοεῖν, ὅτι ἑσπέρας ἦλθεν ἡ Ναυσικάα.

v. 15. *πολλὴν ἠέρα χεῦε*] τῷ Ὀδυσσεῖ περιέθηκε σκότος, οὐ τοῖς Φαίαξιν.

v. 25. *τηλόθεν ἐξ ἀπίης γαίης*] ἐπὶ τὴν πολὺ ἀφεστῶσαν γῆν, οὐ τὴν Πελοπόννησον, ὡς οἱ νεώτεροι οἴονται.

v. 51. *θαρσαλέος γὰρ ἀνήρ*] ὁ πεπαρρησιασμένος καὶ εὔτολμος, οὐχ ὁ θρασύς· ἐκεῖνος γὰρ ὁ ἀναιδής ἐστιν. οἰκεῖον γὰρ τῇ Ἀθηνᾷ τὸ τῆς γνώμης. ἐξ ἀνδρείας καὶ λογισμοῦ ὀρθοῦ τὸ θαρρεῖν περιγίνεται.

v. 54. *Ἀρήτη δ᾽ ὄνομ᾽ ἐστὶν ἐπώνυμον*] ἐπώνυμον μέν ἐστι τὸ ἀπὸ γενέσεως μὲν αὐτομάτως τεθέν, ὕστερον δὲ κατὰ τυχὴν δοκοῦν τεθεῖσθαι. καὶ ὁ Δημοσθένης οἷον τοῦ δήμου σθένος. Ἡσίοδος δὲ ἀδελφὴν Ἀλκινόου τὴν Ἀρήτην ὑπέλαβεν.

v. 56. Ναυσίθοον] ναυσικλυτοί, ἀγακλυτοί, ἐν συνθέσει κατ᾽ ὀξεῖαν τάσιν. ἡ γὰρ ναυσὶ δοτικὴ παρὰ τῷ ποιητῇ ὅτε κατ᾽ ἰδίαν λέξιν, διὰ τὸ η̄ γράφεται· „ὡς οἱ μὲν παρὰ νηυσίν“ (Il. o, 367), ὅτε ἐν συνθέσει διὰ τὸ ᾱ, Ναυσίθοος, Ναυσικάα.

v. 74. *οἷσίν τ᾽ εὖ φρονέῃσιν*] τοσαύτῃ συνέσει κτλ — γυναιξίν. αἱ χαριεστέραι δὲ ᾗσί τ᾽ εὖ φρονέῃσιν. πρεπῶδες γάρ ἐστιν αὐτῇ τὰς πρὸς τοὺς ἄνδρας ἔριδας διαλύειν ταῖς γυναιξίν. ὑπερβιβαστέον δὲ τὸν καί, „καὶ ᾗσιν εὖ φρονέῃσιν“, τὰ πρὸς τοὺς ἄνδρας νείκεα διαλύει. ἄλλως. ὡς γελοίως τοῦτο· οὐ γὰρ τῷ δικαίῳ, ἀλλὰ τοῖς φίλοις φησὶν αὐτὴν διαλύειν,

v. 81. *δῦνε δ᾽ Ἐρεχθῆος*] ἀπὸ μέρους τὰς Ἀθήνας. τουτέστιν εἰς τὸ ἑαυτῆς τέμενος· ἐν αὐτῷ γὰρ ἐτράφη ὁ Ἐρεχθεύς. ὑποτυπεύεται γὰρ ὁ τόπος.

δῦνε δ᾽ Ἐρεχθ.] Ἐρεχθῆος δόμον, τὴν ἀκρόπολιν.

v. 87. *θριγκός*] ἀπὸ γενικῆς εἰς εὐθεῖαν μετῆκται κτλ — κόσμου. ἢ παρὰ τὸ θρέξαι, ὁ περιτρέχων κύκλῳ.

v. 90. *κορώνη*] ἐπὶ τοῦ ζῴου καὶ ἐπὶ τοῦ τόξου καὶ ἐπὶ τῆς θύρας καὶ ἐπὶ τῆς πρύμνης τοῦ πλοίου διὰ τὸ ἐπικαμπὲς σχῆμα. εἴρηται δὲ ταῦτα ἀπὸ τοῦ ζῴου τῆς κορώνης. εὐλόγιστον γὰρ ἔχει ὅσον εὐκαμπῆ τὸν τράχηλον. καὶ παρὰ μέρος σώματος περὶ τοῦ ἀγκῶνος. Φιλόξενος ἱστορεῖ.

v. 104. *αἱ μὲν — αἱ δέ*] τὸ σχῆμα ὁμοιότροπον. αἱ δέ, ὅτι τὸ μὲν ὅτι εὐφυής ἐστι, τὸ δὲ ὅτι φιλόπονος. καὶ ἐπὶ γενικῆς, τοῦ μὲν κήδομαι ὅτι εὐφυής, τοῦ δὲ ὅτι ἀγαθός. καὶ ἐπὶ δοτικῆς, τῷ μὲν τῷ δέ. καὶ ἐπὶ εὐθείας, ὁ μὲν ὁ δέ.

μύλης ἐπὶ μήλοπα καρπόν] μύλας τινὲς τὰ γόνατα ἀκούουσι, μήλοπα δὲ κάρπον τὸ ἔριον. καρπὸς δέ ἐστι τῶν προβάτων, ἵνα ὁ λόγος ᾖ ἐπὶ τῶν τὰς κρόκας τριβουσῶν ἐπὶ τῆς γούνιδος. ἀλλὰ τὸ τρίβειν ἐν τοῖς γόνασιν οὐχ ὁμηρικόν. καθόλου γὰρ οὐ ποιεῖ γυναῖκας γυμνουμένας ἕως μηροῦ. ἀλλ' οὐδὲ αὐτό ποτε εἴρηκεν Ὅμηρος τὸ γόνυ, ἀλλ' ἑνωτικῶς πυροὺς ἄλλου μέν (sic). „ἣ ῥα μύλην στήσασα“ (Od. υ, 111). μύλοπα οὖν καρπὸν τὸν σῖτον τὸν μηλοειδῆ τὴν χροιάν. ὡς καὶ τὴν Δήμητραν αὐτὴν οὕτως ὀνομάζει, „ὅτε τε ξανθὴ Δημήτηρ“ (Il. ε, 500). πρεπῶδες δὲ πεντήκοντα οὐσῶν τὰς μὲν περὶ τὰς τροφὰς ἀσχολεῖσθαι, τὰς δὲ ταλασιουργεῖν, ὡς καὶ ἐν τῇ Ὀδυσσέως οἰκίᾳ παραδέδωκεν. ἄλλως τε καὶ τὴν κρόκην τῇ χειρὶ ἔνηθον αἱ παλαιαὶ γυναῖκες, ὥς που καὶ Εὔπολις φησι· „νῶσαι μαλθακωτάτην κρόκην.“ V. ap. Buttm.

v. 107. *καιροσέων δ' ὀθονέων*] καιρὸς δὲ ὁ μῖτος, οὗ παράγωγον τὸ καιρόεις, θηλυκὸν καιρόεσσα. ἡ γενικὴ τῶν πληθυντικῶν καιροεσσῶν καὶ κατὰ συγκοπὴν καιροσσῶν, διαιρέσει δὲ ἐξ αὐτῆς καιροσέων

ὀθονέων. καὶ ἐπὶ ἐρίων δὲ ὀθόναι λέγονται. ἄλλως. καιροσέων. καιρὸς ἡ διαπλοκὴ τοῦ διάσματος, ἐν ᾗ οἱ στήμονες καθίενται. καὶ αἱ καιροστρίδες (sic) ἔνθεν παρὰ Καλλιμάχῳ. ἄλλο δέ ἐστι μίτος ἑκάστου, δι' οὗ τοὺς στήμονας ἐναλλάττουσι χάριν τοῦ τὴν κρόκην πλέκεσθαι.

v. 113. τετράγυος] ὁ γύης δύο στάδια ἔχει. „ἀμφοτέρωθεν", ἐξ ἑκατέρου μέρους, πλάτους καὶ μήκους. ἢ οὕτως ἀξιόπιστος· ὡς ἐπ' ἀληθέσι καὶ τὰ μέτρα τῆς γῆς προστίθησιν.

v. 115. ὄχναι καὶ ῥοιαί] ἑκάστου δένδρου τὸ ἰδίωμα διὰ τοῦ ἐπιθέτου προστετήρηται κτλ.

v. 148. ὄλβια δοῖεν] ἐν τῷ ὄλβια δοῖεν ἡ στιγμή κτλ.

v. 153. ἐπ' ἐσχάρῃ ἐν κονίῃσιν παρ πυρί] ἐπ' ἐσχάρῃ ἀντὶ τοῦ παρ' ἐσχάρῃ. τὸ δὲ παρ πυρὶ οὐ μόνον τὸν λόγον ἐντέχνως ὡμίλησεν, ἀλλὰ καὶ διὰ τοῦ σχήματος τῆς καθέδρας οἶκτον ἐκίνησεν. ἅμα δὲ καὶ τὴν ἄνασσαν ᾤετο προσηγορίας ἀρχὴν καὶ φιλίαν ὑποθήκην αὐτῷ γενήσεσθαι. πρὸς δὲ τοὺς ζητοῦντας πῶς φησὶν ὡς χειμῶνος ὄντος Ἀρήτην ἀλεαίνεσθαι παρὰ τῷ πυρί; εὔκρατες γὰρ ὁ ἀὴρ καὶ οἱ καρποὶ διαμένουσι καὶ γειτνιῶσι Ἠλυσίῳ πεδίῳ μὲν ὄντι, ὅθεν καὶ τὸν Ῥαδάμανθυν διεκόσμησαν. τὸ δὲ τὸ ἀεὶ καθιερώμενον τῇ Ἑστίᾳ πῦρ.

v. 155. ὀψὲ δὲ δὴ μετέειπε] καὶ πανταχοῦ τῇ σοφίᾳ προεδρίαν ὁ ποιητὴς δέδωκε τῶν ἀρετῶν, διαφερόντως δὲ ἐπὶ τῆς Ὀδυσσέως ἱκετείας, τοὺς μὲν ἄλλους Φαίακας ἐκπεπληγμένους καὶ σιωπῶντας εἰσάγων, ὁ δὲ τοῖς ἔτεσι προγενέστερος καὶ τὴν γνώμην φρονιμωτέραν εἶχεν.

v. 156. ὃς δὴ Φαιήκων] ἐπειδὴ μέλλει ἐπιτιμήσειν τῷ βασιλεῖ,

προσσυνίστησι τὸ πρόσωπον, ὅτι ὑπὸ γήρως καὶ ἐμπειρίας ἐθάρρησε ἐπιτιμῆσαι.

v. 169. ὦρσεν ἀπ' ἐσχαρόφιν] αἰτιῶνται δέ τινες τὸν Ἀλκίνοον ὡς φιλόξενον ὄντα ἐπὶ τοσαύτης ὥρας ἐρρίφθαι ἐπὶ κόνει τὸν Ὀδυσσέα. πρὸς οὓς λεκτέον ὅτι οὐκ ἐκ τυραννίδος εἶχε τὴν ἀρχήν, ἀλλ' εἰς οὓς ἀπέλασεν. ὁπότε οὖν ἐβούλευσε τὸ κοινὸν, εἰκότως αὐτὸν . . . ἀνίστησιν.

v. 170. υἱὸν ἀναστήσας] τῶν μὲν ἄλλων οὐδένα ἀποκλίνει, τὸν δὲ υἱὸν τὸν μάλιστα ἀγαπώμενον (**nomen eius est Agapenor, quod similiter explicatur atque in Palatino**). τὰ γὰρ ὑπηρετικὰ τῶν ἐπιταγμάτων μάλιστα τοῖς στεργομένοις ἐπιτάττειν εἰώθαμεν διὰ τὸ πρόδηλον εἶναι τὴν εἰς αὐτοὺς εὔνοιαν. πρὸς δὲ τὸ πιθανώτερον ὑπὲρ τοῦ μὴ λυπῆσαι τὸν παῖδα οὕτως εἰσῆκται. τὸ δ' αὐτὸ καὶ ἐν Ἰλιάδι „παρ δὲ Διῒ καθέζετο, εἶξε δ' Ἀθήνῃ" (ω, 100).

v. 174. τράπεζαν] ἀθετεῖται τὸ ἔπος κτλ.

v. 176. εἴδατα πολλά] οὐ τῆς σκευασίας, ἀλλὰ τῆς οὐσίας.

v. 211. ὀχέαντας] ἀνέχοντας καὶ βαστάζοντας. ἀπὸ τῶν ὑποζυγίων ἡ μεταφορά. φέροντας τὴν ἐν τῷ βίῳ κακότητα.

v. 213. καὶ δ' ἔτι κεν καὶ μᾶλλον ἐγὼ κακὰ μυθησαίμην] τοῦτο ἀφ' ἑτέρας ἀρχῆς ἐν θαυμασμῷ ἀνεφώνησεν· „ὥς κ' ἐμὲ τὸν δύστηνον ἐμῆς ἐπιβήσετε πάτρης κτλ. **cf. vs. 223 sq.**

v. 215. ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε] κατατρέχουσί τινες τούτων ἱκανῶς ὡς ἀγενέστατον περὶ τῆς γαστρὸς διαλεγομένου καὶ δεῖπνον ἀπαιτοῦντος, καὶ ταῦτα παρὰ ἀνθρώποις, οἵους οὐδέπω ἴδεν· οὐδὲ ἡρωϊκὸν τὸ παράγγελμα, γαστρὶ ἥκειν. πρὸς οὓς ῥητέον ὅτι ἀποτρίβεται τὴν ὑπονοίαν τοῦ δοκεῖν εἶναι . . εἰς ταπεινοὺς λόγους καταβαίνειν . . . λόγους. διὸ καὶ . . . μένειν τὰ περὶ τῆς γαστρός.

v. 217. *ἐκέλευσεν*] *διὰ τοῦτο ἐκέλευσεν, ὅτι ἀνάγκη, ὡς ἐπὶ ἀπαραίτητον δεσπότην.*

v. 225. *κτῆσιν ἐμήν*] *ἐκ τούτου ἐνδείκνυται ὅτι καὶ αὐτός ἐστι τῶν ἐχόντων κτήματα, οὐχ οἷος δὲ ὁρᾶται, ὥσπερ καὶ* Ναυσικάα *ἔλεγεν· „πολὺς δέ μοι ἕσπετο λαός"* (Od. ϛ, 164). *ἔνδειξιν οὖν ἐποίει ὅτι οὐ παρημελημένος ἦν, ἀλλ' ἔστιν αὐτῷ καὶ πατρὶς καὶ οἶκος καὶ κτήματα.*

v. 234. *ἔγνω γάρ*] *εἵματα γὰρ ἰδοῦσα φᾶρός τε χιτῶνά τε ἔγνω.*

v. 238. *τίς; πόθεν εἰς ἀνδρῶν;*] *δοκεῖ τισὶ μικροπρεπὲς καὶ ταπεινὸν τὸ τὴν 'Αρήτην παρὰ τοῦ ξένου πρῶτον περὶ τῆς ἐσθῆτος πυνθάνεσθαι. ζητέον δὲ ὅτι πολλῶν ἕνεκα ἐντεῦθεν ἤρξατο. πρῶτον μὲν ἐπιγνῶναι τὴν γυναῖκα τὰ ἱμάτια εἰκὸς ἦν πρώτην· καὶ γὰρ ὑφαίνειν καὶ θεραπεύειν καὶ διαχειρίζειν τὰ τοιαῦτα τῆς γυναικείας φύσεως ἔργον.* — **Cetera** *τοῦ λυτικοῦ* **argumenta librario non placuit describere.**

v. 244. *'Ωγυγίη τις νῆσος*] *ἐπαινεῖται 'Οδυσσεὺς ὅτι πυθομένης τῆς 'Αρήτης πῶς καὶ πόθεν ἔχει τὰ ἱμάτια, πρὶν περὶ τοῦ ὅπως ἀποκρίνεσθαι δεξιῶς τὴν μὲν παῖδα πονηρίας ἀπαλλάξειε, ἑαυτὸν δὲ συστήσειε τοῖς Φαίαξιν ἀφ' ὧν δόξει σεμνότερος εἶναι καὶ τιμιώτερος. εἰ μὲν γὰρ μόνον τὸν ἀποκρίσεως τόπον διῆλθεν, ἴσως ἂν τήν τε κόρην αἰτίας ἔνοχον κατέστησε καὶ τὸν ἑαυτοῦ τρόπον διέβαλεν. ἐπειδὴ δὲ ἄνωθεν ἀρξάμενος τόν τε πλοῦν καὶ τὸν χειμῶνα καὶ τὰς ἀτυχίας τὰς ἐν θαλάσσῃ διηγεῖται καὶ τὴν κατὰ τὸν ποταμὸν ἔκβασιν καὶ τὸ τελευταῖον ἱκετείαν, ᾗ χρησάμενος ἁπάντων τῶν προσηκόντων φησὶ παρ' αὐτῆς τυχεῖν, εὔλογον μὲν τὴν πρόφασιν τοῦ λαβεῖν τὰ ἱμάτια κατεσκεύασε καλῶς τε τῆς*

παρθένου τὴν ὑποψίαν ἀπέλαβε, εὖ δὲ τῆς μητρὸς αὐτῆς τὴν ἀπορίαν ἔπαυσεν, ἀκέραιον δὲ διαβολῆς τὴν ἑαυτοῦ φύσιν κατέστησε. διὰ τοῦτο εἰς ἐπιθυμίαν αὐτοὺς ἄγει καὶ πρὸς συμβεβηκότων αὐτῶν (καὶ τῶν συμβ. αὐτῷ ἀκούειν?)

v. 245. δολόεσσα Καλυψώ] καὶ μὴν οὐχ ὅτι ἦν φαρμακίς, ἀλλ' ὅτι αὐτὸν ἦγεν ἐξαπατῶσα καὶ ἀφῄρει τὸν νόστον.

v. 257. θήσειν ἀθάνατον] καὶ διὰ τί μὴ βιβούληται; κτλ — ἀπαθανατίζειν. Ἀντισθένης δέ φησιν ὅτι τοὺς ἐρῶντας ἤδη ψευδομένους τὰς ὑποσχέσεις. τοῦτο γὰρ ποιεῖν οὐκ ἠδύνατο δίχα Διός. τὰ γὰρ οὕτως ἐνδείκνυται ὅτι πάντων τῶν πραγμάτων προτέθεικε τὸν νόστον, ἵνα μᾶλλον ὑπακούσῃ Ἀλκίνοος.

v. 263. Ζηνὸς ὑπ' ἀγγελίης] ὑπονοῶν Ὀδυσσεὺς φαίνεται τὴν ὑποστολὴν τοῦ Ἑρμοῦ· ὡς ἐξαίφνης γὰρ καὶ οὐ προσδοκήσαντος ἐγένετο ἡ ἐκπομπὴ εἰς αὐτόν. διστακτικὸν λέγει, διὸ ὑφ' ἓν ἀναγνωστέον τὸν στίχον· οὐδὲ γὰρ ᾔδει εἰ ὁ Ζεὺς ἔπεμψε τὸν Ἑρμῆν.

v. 270. δυσμόρῳ] τῷ δυσμόρῳ ἀνεφώνησεν· ὄντως γὰρ ἔτι ἔμελλεν δυστυχήσειν.

v. 189. δύσετό τ' ἠέλιος] εἰς δύσιν ἐκλίνετο. γράφεται καὶ δείλετο, ἀντὶ τοῦ εἰς δείλην ἀπέκλινε.

v. 290. ἀμφιπόλους δ' ἐπὶ θινί] πάντα μὲν εὔκαιρα, δεξιώτατον δὲ εἰς ἀπόλυσιν τῆς ὑπονοίας τὸ μὴ μόνης περιτυχεῖν, ἀλλὰ μετὰ ἀμφιπόλων.

v. 299. ἤτοι μὲν τοῦτό γ' ἐναίσιμον] τέλεον καὶ μεγαλοπρεπὲς τὸ ἦθος τοῦ Ἀλκινόου τοσοῦτον ἐπέσχε τοῦ μέμψασθαι μικρόψυχον τὴν θυγατέρα ἐν τῇ δόσει τῶν ἱματίων, ὡς μᾶλλον αἰτιᾶσθαι ὡς ἐξέλιπεν εὐεργετοῦσα . . τὸ μὴ μετὰ θεραπαινίδος ἀγαγεῖν κατὰ τὴν πόλιν.

v. 303. *ἥρως, μή μοι] καὶ ἐνταῦθα τεχνικῶς ἄγαν ὁ Ὀδυσσεὺς ἀπολογεῖται ὑπὲρ τῆς κόρης· πλέον γὰρ προσενόησε τὸ τῆς παιδὸς εὐσχήμονος ἢ τοῦ ἰδίου ξυμφέροντος, ἐξ οὗ φιλανθρωποτέραν αὐτὴν ἔμελλεν ἀποδεῖξαι. „ἡ μὲν γάρ μ' ἐκέλευσε, ἀλλ' ἐγὼ οὐ πειθόμην." ἀλλ' ὁ μὲν τὴν μὲν παρθένον ἀκαταιτίατον ἐφύλαξεν, ἑαυτὸν δὲ ὠφέλησε ψευσάμενος. παραδεκτέον ψεῦδος ὅτε ἑαυτόν τις σώζει μὴ βλάπτων τὸν φίλον.*

v. 307. *δύσζηλοι γὰρ] κακοῦργον γὰρ ὁ ζῆλος καὶ ἐπίψογον τίθεται. δαιμονίως δὲ καὶ ἑαυτὸν τῷ ἁμαρτήματι συμπεριέλαβεν.*

v. 309. *ξεῖν' οὔ μοι τοιοῦτον] συνῆκεν ὁ Ἀλκίνοος καὶ περὶ ἑαυτοῦ ἀπολογεῖται.*

v. 311. *αἲ γὰρ Ζεῦ τε πάτερ] ἄτοπον, φασίν, ἡ εὐχή· μὴ γὰρ ἐπιστάμενος ὅστις ἐστὶ μηδὲ πειραθεὶς εὔχεται σύμβιον αὐτὸν λαβεῖν καὶ γαμβρὸν ποιήσασθαι. ἦν μὲν παλαιὸν κρίνειν τοὺς ἀρίστους τῶν ξένων καὶ δι' ἀρετὴν ἐκδιδόναι τὰς θυγατέρας, ὡς καὶ ἐπὶ Βελλεροφόντου, Τυδέως, Πολυνείκους. οὐ γὰρ εἰς τὸν πλοῦτον ἀφεώρων οἱ πολλοί, ἀλλ' εἰς τὴν ἀρετὴν τὴν ἀπὸ τῆς ὄψεως· „βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας" (Od. ω, 253). ὁρᾷ δὲ δὴ καὶ ἐκ τῆς ὄψεως τὸν Ὀδυσσέα καὶ ἐκ τῶν λόγων τεκμαίρεται τὸ ἀξίωμα τοῦ ἀνδρός. ἴσως δὲ καὶ πεῖραν αὐτοῦ λαμβάνων τοῦτο εἴρηκεν, ὡς εἰ μὲν θέλοι παραμένειν παρ' αὐτοῖς καὶ πολιτεύεσθαι, ἐλέγχοιτο ἂν ἀλαζονευσάμενος περὶ τῆς Καλυψοῦς καὶ δι' ὧν ἐπιθυμεῖν ἔφησε τῆς πατρίδος καὶ τῶν οἰκείων· οὐ γὰρ εἰκὸς εἶναι τὴν μὲν ἀθανασίαν ὑπεριδεῖν, θνητῆς δὲ γυναικὸς ὑπομεῖναι γάμον. εἰ δὲ μηδὲν προσέχοι τῷ γάμῳ, τεκμήριον εἶναι τῆς ἐπιεικείας αὐτοῦ καὶ τῆς πίστεως ὧν ἔφη περὶ τῆς Καλυψοῦς, (ὥστε) προθυμότερον περιγενέσθαι τὴν παρασκευὴν πρὸς τὸν νόστον, ὡς ἀνδρὸς τιμῆς καὶ πολλῆς χάριτος ἀξίου.*

v. 313. „ἐχέμεν, καλέεσθαι“, ἀντὶ τοῦ ἔχοιο καὶ καλοῖο. „τοῖος ἐὼν οἷός ἐσσι,“ ἀντὶ τοῦ μένων οἷος εἶ τὴν γνώμην καὶ μηδὲν τῆν προαιρέσεως τῆς νῦν σοι παρούσης παρατρέπων.

v. 318. ἐς τῆμος δέ] ἕν ἐστι τὸ τημόσδε (Ms. τῆμὸς δέ). τὸ δὲ εἰς τόδε καὶ ἐς τῆμος δὲ ταὐτὸν δηλοῦσιν, ἀντὶ τοῦ κατ' αὐτὴν τὴν ὥραν. ὡς εἴ τις λέγοι, ἄνω ἀνάβηθι ἐπὶ τὴν κλίνην. βέλτιον δὲ τοῖς ἄνω συνάπτειν. τὸ τῆμος δὲ οἷον εἰς τοῦτον τὸν χρόνον.

v. 318. δεδμημένος] τίνος ἕνεκα ὕπνῳ; Φασὶν οὖν εἰδότες τὸ ἀβροδίαιτον ἑαυτῶν καὶ τὸ περὶ τοὺς πολέμους ἀσθενές. ἐν τοῖς ἐσχάτοις γὰρ τόποις κατοικοῦντες πολέμων οὐκ ἐντυγχάνουσιν. οἱ δὲ τὴν ἐρεσίαν καυχῶνται μόνην.

v. 319. γαλήνην] ὡς ἐν γαλήνῃ πλέοντες ἢ γαλήνην ἔχοντες. δῆλον γὰρ ὅτι τοιοῦτον πάρέξουσι πλοῦν, ὡς δοκεῖ ἐν γαλήνῃ πλεῖν. παραιτητέον γὰρ τῆς γαλήνης τὴν θάλασσαν ἀκούοντες.

v. 323. ὅτε τε ξανθὸν Ῥαδάμανθυν] δῆλον κἀκ τούτου ῥήϊστην βίοτον εἶναι ἐνταῦθα. οὔτε γὰρ ὑετὸς οὔτε χειμὼν οὔτε νιφετός, ἀλλὰ τὴν Ζεφυρίαν αὔραν ἐπιπνεῖν φασίν ..... αὐτὸν ὄντα τὸν Ῥαδάμανθυν δίκαιον καὶ νομοθέτην. πῶς οὖν ἐν τῇ Νεκυίᾳ τὰ περὶ Τιτυὸν ἐν τῇ Φωκίδι φησὶ γενέσθαι καί „Λητὼ γὰρ εἵλκυσε Πυθώδ' ἐρχομένην“ (Od. λ, 580). ἴσως ἐν Εὐβοίᾳ μὲν ᾤκει, ἐν Φωκίδι δὲ ἐτελεύτησεν.

v. 347. λέχος πόρσυνε καὶ εὐνήν] διαφέρουσι λέχος καὶ εὐνή. φασὶν λέχος μὲν εἶναι τὴν κλίνην, εὐνὴν δὲ τὰ ἐπὶ τὴν κλίνην μαλάγματα, ὡς αὐτὸς ἐν ἄλλοις· „ἀλλ' ἄγετ' ἐκθεῖσαι πυκινὸν λέχος ἐμβάλετ' εὐνήν, δέμνια καὶ χλαίνας“ (Od. ψ, 178). πόρσυνε δὲ ἀντὶ τοῦ ηὐτρέπιζεν.

Haec hactenus. Reliqua profligabo proxima occasione. Ad vos autem quod pertinet, commilitones humanissimi, en novus hic vobis patescit campus. Naviter in eum incurrite, neque si parum celeriter vobis proficere videamini, propterea animum protinus despondete: quod quam funestum possit exitum habere calamitoso nuper exemplo iuvenis ceteroquin egregie cordati sumus experti. Animum patientem et perseverantem sibi requirit tum litterarum studium tum omnis vita agenda. *Θαρρεῖν χρή,* inquit Plato, *τὸν καὶ σμικρόν τι δυνάμενον εἰς τὸ πρόσθεν ἀεὶ προϊέναι· τί γὰρ ὅ γε ἀθυμῶν ἐν τούτοις δράσειεν ἂν ἐν ἄλλοις;* — Id quod alio loco ab eodem fulcitur sententia Hesiodi, *εἰ καί τις σμικρὸν ἐπὶ σμικρῷ καταθείη, προὔργου εἶναι.*

Dab. Dorpati mense Januario, A. D. MDCCCXXXIX.

I. SCHOLAE ORDINIS THEOLOGORUM.

ANDREAS CASPAR FRIDERICUS BUSCH D., a Consil. Publ., Historiae ecclesiasticae et litterarum theologicarum P. P. O., Ordinis Theologici h. t. Decanus enarrabit: 1) Historiae ecclesiasticae Novi Testamenti partem alteram, duce Guerike, quinquies per hebd., dd. Mart., Merc., Jov. h. VIII., d. Ven. h. VIII—X; 2) Historiam Reformationis, duce Guerike, dd. Mart., Merc. et Jov. h. IX; 3) et 4) Exercitationes Patristicas moderari perget in Seminarii theologici classe secunda, d. Merc. h. XII, itemque in classe prima, dum vacat cathedra Professoris Theologiae systematicae, d. Veu. h. III.

CAROLUS CHRISTIANUS ULMANN D., a Consil. Aul., Theologiae practicae P. P. O., Universitatis litt. h. t. Rector magnificus docebit: 1) Catecheticam, duce Hueffel, Ueber das Wesen und den Beruf des evangelisch-christlichen Geistlichen, dd. Lun. et Mart. h. X—XI; 2) de iure atque theologia Pastorali, dd. Merc., Jov., Ven., Sat., h. X—XI, duce eodem; 3) Paedagogicae et Didacticae partem priorem, duce Schwarzio, Lehrbuch der Pädagogik und Didaktik, dd. Lun. et Jov. h. III—IV; 4) Exercitationes Practicas moderabitur in Seminario, d. Merc. h. XI.

Cathedra Professoris Ordinarii Dogmaticae et Moralis theolog. est vacua. V. sub nomm. Busch et Carlblom.

* * *

CAROLUS FRIDERICUS KEIL, Philos. et Theol. D., Colleg. Assessor, Exegeticae et Linguarum Orientalium P. P. E. O. tradet: 1) Isa-

gogen historico-criticam in V. T., secundum De Wettii librum, edit. IV, quaternis horis III—IV, dd. Lun., Mart., Merc., Ven.; 2) explicabit Epistolas Minores Paulinas, quinquies per hebd. h. IV; 3) Genesin interpretabitur, dd. Lun., Mart., Jov., Ven. h. V; 4) docebit elementa linguae Sanscriticae, secundum Koppii Grammaticam criticam, binis horis postea definiendis; 5) Seminarii theologici sodales in Sacharja Propheta interpretando exercebit, h. consueta.

AUGUSTUS CARLBLOM D., Colleg. Assessor., in Gymnasio Dorpatensi Rer. Sacr. et Linguae Hebraicae magister ord. super., Dogmaticae et Moralis theol. vice fungens tradet: 1) Symbolicam principalium Ecclesiae Christianae partium, duce Marheineke „Institutiones symbolicae" ed. tert. a. 1830, d. Mart. h. XII—I, d. Merc. h. V—VI et d. Jov. h. XII—I; 2) de scholarum philosophicarum, quae inde a Kantio exstiterunt, ad Dogmaticam Christianam ratione disputabit, duce Augusti, Lehrbuch der Dogmengeschichte, ed. 4. 1835. dd. Lun. et Sat. h. XII—I; 3) Conversatorium de rebus per lectiones tractatis habebit d. Sat. h. IV—VI.

II. SCHOLAE ORDINIS JURISCONSULTORUM.

CAROLUS OTTO DE MADAI D., a Consil. Aul., Juris Criminalis, Processus criminalis, Hist. Juris et Hist. litterariae iuridicae P. P. O., Ordinis Ictorum p. t. Decanus leget: 1) Pandectas excepto iure hereditario, septies per hebd., h. IV—V et V—VI, duce Muehlenbruch, Lehrbuch des Pandectenrechts; 3) Hermeneuticam et Exegesin, quinquies per hebd., h. X—XI, ducibus fontium scriptoribus.

ALEXANDER DE REUTZ D., a Consil. Aul., Juris Rossici P. P. O. docebit Juris privati Rossici partem priorem, adiuncto iure hereditario, secundum СВОДЪ ЗАКОНОВЪ ГРАЖДАНСКИХЪ, octonis per hebd. horis, sexies h. XI—XII et binis hh. postea definiendis.

ERDMANNUS GUSTAVUS BROECKER D., a Consil. Aul., Ord. S. Annae class. tert. Eques, Juris publici et gentium ac Politicae P. P. O. tradet: 1) Juris publici positivi partem alteram, secundum Poelitzium, die europäischen Verfassungen seit 1789, Lips. 1833, quinquies h. VI—VII; 2) Praecepta dabit inquisitionum in causis publicis et criminalibus instituendarum, adhibita Psychologia criminali, secundum Jagemanni Handbuch der gerichtlichen Untersuchungskunde, 1838, d. Sat. h. X—XI; 3) docebit Processus civiles extraordinarios Livoniae, Esthoniae et Curoniae, duce Samsono ab Himmelstiern Institt. 1824 Tom. II, d. Sat. h. XI—XII; 4) Heraldicae, Diplomaticae, Genealogicae et Numismaticae recentioris capita potissima, ducibus Gatterer, aliis, dd. Lun. et Jov. h. V—VI.

FRIDERICUS GEORGIUS BUNGE D., a Consil. Aul., Juris provincialis Curonici, Livonici, Esthonici et theoretici et practici P. P. O. docebit: 1) Jus privatum Livoniae et Esthoniae, duce Manuali suo, 2 Voll, Dorpati sumtibus Klugii 1838, 1839, dd. Mart., Merc., Jov., Ven., Sat. h. IX—X; 2) Juris publici Livoniae, Esthoniae, Curoniae partem alteram, secundum Introductionem suam, dd. Jov., Ven., Sat. h. VIII—IX; 3) Jus antiquissimum Ordinis Equestris Livon. aliosque fontes iuris provincialis antiquioris explicabit, d. Mercurii, hora definienda.

CAROLUS EDUARDUS OTTO D., a Consil. Aul., Juris civilis tum Romani tum Germanici, Iuris administrationis generalis et Jurisprudentiae practicae P. P. O., Tribunalis academici, quo provocatione certatur causaeque recognoscuntur, h. t. Praeses docebit: 1) Encyclopaediam et Methodologiam Disciplinarum juridicarum, duce Falkio, quinquies per hebd. h. X; 2) Institutiones Juris Romani, secundum Hauboldi Institutionum juris romani privati lineamenta ed. Otto, Lips. 1826, quinquies per hebd. h. XI; 3) Jus privatum Germanicum, secundum Weissii Einleitung in das gemeine deutsche Privatrecht, ed. 2 auct. Lips. 1832, adhibito simul eiusdem Tabellar. Grundriss des deutschen Privatrechts, ed. 2 auct. Lips. 1832, quinquies per

hebd. h. XII; 4) privatissime moderabitur societatis suae juristicae exercitationes disputatorias atque exegeticas, d. Sat. h. IV—VI.

* * *

REINHOLDUS BARO UNGERN STERNBERG D., privatim docens, docebit: 1) Processum civilem Rossicum, secundum СВОДЪ ЗАКОНОВЪ Vol. X; quinquies per hebd. h. III—IV; 2) Concursuum processum Rossicum, secundum СВОДЪ Vol. X et XI, prioribus hebd. diebus, horis definiendis.

III. SCHOLAE ORDINIS MEDICORUM.

ALFREDUS GUILIELMUS VOLKMANN D., a Consil. Aul., Physiologiae, Pathologiae et Semioticae P. P. O., Ord. Med. h. t. Decanus docebit: 1) Physiologiae partem priorem, duce Manuali suo, quinquies per hebd. h. XI; 2) Physiologiae partem alteram, duce Manuali suo; quinquies per hebd. h. V.

JOANNES FRIDERICUS ERDMANN D., a Consil. Publ., Ordd. S. Stanisl. class. sec., S. Wladimiri class. tert. et S. Annae class. sec. c. cor. imper. Eques, Diaeteticae, Materiae med., Hist. medicinae et Litterarum medicarum P. P. O. tradet: 1) Pharmacologiae partem secundam, duce Sobernhemio, propositis simul medicamentorum speciminibus, itemque Artis formularum medicarum concipiendarum partem alteram, duce Sundelino, adiunctis exercitationibus practicis: quibus in rebus continuabit praelectiones superiore semestri inchoatas; 2) Earundem disciplinarum partes priores, eadem ratione tractandas, iisdem diebus h. IV, novae studiorum instituendorum regulae obsecuturus; 3) habebit Disputatorium latinum, d. Saturni h. IV.

THEOPHILUS FRANCISCUS EMANUEL SAHMEN D., a Consil. Colleg., Ordd. S. Wladimiri quart. class. et S. Stanislai tert. class. Eques, Therapiae et Clinicae P. P. O. 1) doctrinae de morbis chronicis partem secundam tractabit, dd. Lun., Mart.,

Merc. h. V—VI, duce Raymanno; 2) moderabitur Clinicum medicum, quotidie h. XI.

ALEXANDER HUECK D., a Consil. Aul., Anatomiae et Medicinae forensis P. P. O. tradet: 1) Anatomiae corporis humani partem priorem, quotidie h. X—XI; 2) Medicinam forensem, duce Henkio, trinis horis IV—V.

PIERS USO FRIDERICUS WALTER D., a Consil. Aul., Artis obstetriciae et scientiae morborum mulier. et infant. P. P. O. 1) Artis obstetriciae partem priorem tradet, dd. Lun. et Ven. h. VIII—IX; 2) Clinicum obstetricium diriget, h. IX—X.

NICOLAUS PIROGOFF D., ab Aul. Consil., Ord. S. Annae class. tert. Eques, Chirurgiae theoreticae et practicae P. P. O. docebit: 1) Artem operationum chirurgicarum, duce Velpeau, trinis hh. III—IV; 2) Artem medendi oculis, duce Juengken, ter per hebd., horis definiendis; 3) privatissime docebit Anatomiam chirurgicam, specimina a se ipso praeparata propositurus, trinis horis; 4) Clinicum chirurgicum moderabitur quotidie h. X—XII.

* * *

FRIDERICUS HENRICUS BIDDER D., Colleg. Assess., P. P. E. O. et Prosector docebit: 1) Anatomiae descriptivae partem alteram, duce Hueckio et Krausio, quinis prior. hebd. diebus h. IX—X; 2) continuabit doctrinam de corporum animalium textura, ratione potissimum habita Anatomiae Hildebrandtianae a Webero editae, adiunctisque insuper demonstrationibus microscopicis, d. Sat. X—XII; 2) diriget exercitationes cadaverum secandorum, quotidie h. II—IV.

HERMANNUS KOEHLER D., a Consil. Colleg., Ord. S. Stanisl. class. quart. Eques, privatim docens leget: 1) Encyclopaediam et Methodologiam disciplinarum medicarum, duce Friedlaendero, dd. Merc. et Sat. h. IV—V; 2) Politiam medicinalem, duce Niemanno, ternis per hebd. hh. XII—I; 3) de morbis quibusdam popularibus in historia insignioribus, duce Heckero, bis per hebd.; 4) continuabit interpretationem Aphorismorum Hippocratis, bis per hebd., horis definiendis.

III. SCHOLAE ORDINIS PHILOSOPHORUM.

CHRISTIANUS FRIDERICUS NEUE D., a Consil. Aul., Ord. S. Wladim. class. quart. et S. Annae class. tert. Eques, Hist. Litt., LL. Gr. et Lat. et Paedag. P. P. O., Ordinis philosophici class. prim. et tert. h. t. Decanus: 1) Syntaxin Graecam exponet, duce Matthia, dd. Lun., Mart., Merc., Jov. h. XI—XII; 2) Virgilii Georgica interpretabitur, dd. Lun., Mart., Merc., Jov. h. XII—I; 3) sodalibus Seminarii paedagog. et philologici Thucydidem interpretandum proponet, eosque latine scribendo et disputando exercebit, dd. Ven. et Sat. h. XII—I.

EBERHARDUS DAVID FRIEDLAENDER D., a Consil. Colleg., Ord. S. Annae class. tert. Eques, disciplinarum quae pertinent ad rem mercatoriam P. P. O., Ord. philosophici class. secundae et quartae h. t. Decanus, tradet: 1) Oeconomiae publicae partem alteram, duce Rau, die Volkswirthschaftspflege, ratione simul habita consuetudinis oeconomiae publicae, qualis obtinet in Britannia, Prussia, Francogallia, quinis per hebd. horis h. IX—X; 2) doctrinam mercaturae faciendae, secundum Murhardi Theorie des Handels, quinquies h. X—XI.

MAURITIUS AB ENGELHARDT D., a Consil. Aul., Ord. S. Ann. class. sec. c. cor. imper. Eques, Historiae naturalis universalis et Mineralogiae peculiariter P. P. O. tradet: 1) doctrinam de qualitatibus Mineralium, sec. Schuberti allgem. Naturgeschichte Vol. II, dd. Mart. et Ven. h. X; 2) Geognosiam, sec. ab Hoffii Geschichte der natürlichen Veränderungen der Erdoberfläche, dd. Lun., Merc., Jov., Ven. h. V.

GUILIELMUS STRUVE D., a Consil. Publ. actu, Ordd. S. Wladim. class. tert., S. Ann. class. sec. c. cor. imper., Aquilae Rubr. class. tert., Dannebrogici insuper Ordinis Eques, Academicus, Prof. emeritus, Astronomiae Professoris P. O. vice fungens docebit: 1) Astronomiam sphaericam, quaternis dd. h. XI—XII, duce Bohnenberger; 2) Calculum ex Probabilibus, duce Enckio, dd. Merc. et Sat. h. XI—XII.

FRIDERICUS PARROT D., a Consil. Publ., Ord. S. Ann. class. sec. c. cor. imper. Eques, Physicae P. P. O. docebit Physicam in usum

studii artis medicinae, duce manuali Neumanni Vindob. 1835, quotidie h. XI—XII.

CAROLUS LUDOVICUS BLUM D., a Consil. Colleg., Ord. S. Ann. class. tert. Eques, disciplinarum statisticarum et geographicarum P. P. O. tradet: 1) Geographiam et Ethnographiam universalem, duce Raumero Handb. der Geographie, quinquies per hebd. h. XII—I; 2) Historiam recentiorem, inde a tempp. Reformationis, duce Heeren, dd. Lun., Mart., Jov. h. V—VI.

FRIDERICUS KRUSE D., a Consil. Colleg., Ord. S. Ann. class. tert. Eques, disciplinarum historicarum P. P. O. tradet: 1) Historiae universalis partem alteram, Historiam Romanorum et Hist. medii aevi et recentioris civitatum Europ. occid., quinis hh., secundum Krusii Orb. pict. Histor., h. III—IV; 2) Historiam Rossicam aetatis recentioris, dd. Lun., Mart., Merc. h. IV—V, duce Glinka; 3) Historiam Imperii Germanici, dd. Jov. et Ven. h. IV—V, duce Kobbe Handb. der teutschen Geschichte, Lips. 1824; 4) habebit Historico-Practicum diebus et horis definiendis.

FRIEDEMANNUS GOEBEL D., a Consil. Colleg., Ord. S. Ann. class. sec. Eques, Chemiae et Pharmaciae P. P. O., docebit Chemiam corporum anorganicorum experimentis illustrandam, quotidie h. X, duce Berzelio, Lehrb. der Chemie ed. 3.

FRIDERICUS SCHMALZ D., a Consil. Colleg., Ord. S. Ann. class. tert. Eques, Oeconomiae et Technologiae P. P. O. docebit: 1) Technologiam, sec. Poppe, Volks-Gewerbslehre ed. 2, quinis diebus prioribus hebd. h. VIII; 2) Artem hortorum colendorum, sec. manuale Noisettii, trinis dd. prioribus hebd. h. IX.

ALEXANDER BUNGE D., a Consil. Colleg., Historiae Naturalis in universum et Botanicae peculiariter P. P. O. tradet: 1) Botanicam universalem, sec. Alph. De Candolle, Anleitung zum Studium der Botanik, quinis dd. prioribus hebd. h. XII—I; 2) Floram phanerogamicam Livoniae edisseret dd. Mart., Merc., Jov. et Ven. h. VIII—IX, suas in hoc schedas secuturus; 3) Analysin Plantarum docebit, ratione habita potissi-

mum plantarum officinalium et venenosarum, semel per hebd. h. IV—V.

MICHAEL ROSBERG D., a Consil. Aul., Linguae ac Litterarum Rossicarum P. P. O. docebit: 1) Historiae Linguae et Litt. Rossicarum partem alteram, a Petro Magno usque ad nostram aetatem, duce Gretschio. d. Sat. h. XII; 2) interpretabitur opera Lomonossovii, Dershavini, Shukovskii, Puschkini, Krylovii, aliorum, passim illustranda, dd. Lun., Mart., Merc., Jov., Ven. h. VI; 3) habebit Exercitationes practicas scriptionum rossice concipiendarum vel convertendarum, speciminibus maxime ex Goethio sumtis, dd. Ven. et Sat. h. IX; 4) Seminarii paedag. et philologici sodalibus scriptores rossicos nobilissimos tum antiquioris tum recentioris aetatis passim interpretandos proponet, adiunctis exercitationibus practicis, d. Sat. h. IV. Praeterea operam suam offert civibus academicis, si quis cupiat institui in litteris Rossicis, privatim et gratis praestandam, horis definiendis.

LUDOVICUS PRELLER D., a Consil. Aul., Eloquentiae, Philologiae classicae, Aestheticae et Historiae Artium P. P. O. tradet: 1) Archaeologiam artis antiquae, duce O. Muellero, Handb. der Archaeologie, dd. Lun., Mart., Jov., Ven. h. IX—X, adiuncta demonstratione monumentorum artium ex operibus variis et Museo academico; 2) interpretabitur Platonis Phaedrum, dd. Ven. et Sat. h. XI—XII; 3) de placitis Platonis et Aristotelis et Stoicorum disputabit, usurus libro inscripto Historia Philosophiae Graeco-Romanae ex fontium locis contexta cur. Ritter et Preller, Hamb. 1838, dd. Lun. et Mart. h. X—XI; 4) Seminarii paedag. et philologici sodalibus Horatii Odas libri tertii interpretandas proponet, adiunctis exercitationibus latine disputandi et scribendi.

Cathedra Professoris P. O. Philosophiae theoreticae et practicae vacua est. V. s. n. Posselt.

* * *

MAURITIUS HERMANNUS JACOBI D., Colleg. Assess., Architecturae Civilis P. P. E. O. lectiones suas indicabit ubi primum redux erit ex Petropoli.

CAROLUS EDUARDUS SENFF D., Colleg. Assess., Mathematicae purae et applicatae P. P. E. O. tradet: 1) Mathematicam elementarem, duce Francoeur, quinis dd. prior. hebd. h. VIII—IX; 2) Calculum differentialem et integralem, duce Lacroix, quinis dd. prior. hebd. h. IX—X; 3) Calculum ex probabilibus, duce Laplace, trinis horis definiendis.

* * *

CLAUS MOHR D., Ling. Gr. in Gymnas. Dorpat magister ord. super., privatim docens 1) Antiquitates Graecas vitae privatae enarrabit, d. Sat. h. IX—X, gratis; 2) Horatii Epistolas interpretabitur, dd. Jov. et Ven. h. IV—V; 3) exercitationes in latine loquendo instituet cum studiosis medicinae, binis per hebd. horis.

MAURITIUS POSSELT D., privatim docens, philosophiae vice fungens tradet: 1) Psychologiam et Logicam, secundum Twesten, Grundriss der analytischen Logik, Kiliae 1834, sexies per hebd. h. X—XI; 2) Historiam philosophiae antiquae, duce libro ab se edito, Lehrbuch der alten Philosophie, Dorpati 1839, binis hh. XI—XII.

HERMANNUS MARTINUS ASMUSS D., privatim docens, docebit: 1) Zoologiam in usum Oeconomorum, Cameralistarum, al., usum potissimum et cultum et venationem animalium vitae humanae inservientium eorumque ad mercaturam faciendam rationes respecturus, itemque animalia generi humano infesta quo pacto possint vel removeri vel eradicari demonstraturus, duce manuali a Wiegmanno et Rathio edito, Berl. 1832, passimque assumtis operibus quae ediderunt Bechstein, Brandt, Bujack, Ratzeburg, Schmalz, aus dem Winkell, Zenker, al., sexies per hebd. h. IX—X; 2) Historiam naturalem animalium evertebratorum, secundum Lamarckii Histoire naturelle des animaux sans vertèbres, ed. novissima, quam cur. Deshayes et Milne Edwards, Paris 1835—1838, dd. Mart., Jov. et Ven. h. X—XI.

V. LECTIONES LINGUARUM ET ARTIUM.

Linguas recentiores docebunt Lectores publice constituti, et quidem ex legibus academicis binis quisque per hebd. gratis:

Germanicam CAROLUS EDUARDUS RAUPACH, Consil. tit., Ord. S. Stanisl. class. quart. Eques. Hic 1) Grammaticam Germanicam docebit duce Heyse, dd. Lun., Merc. et Sat.; 2) exercitationes Germanice scribendi instituet, dd. Mart. et Ven. hh. definiendis.

Francogallicam CAROLUS PEZET DE CORVAL, Consil. tit. 1) Racini tragoedias interpretando, d. Sat. h. IX—X; 2) Francogallice scribendi exercitationibus instituendis, d. Merc. h. IX—X.

Italicam AMADEUS BURASCHI, Consil. tit., qui 1) Linguae Italicae cursum theoreticum et practicum instituet, duce Fornasari-Verce, adiunctis scribendi exercitationibus, d. Jov. h. II—III; 2) Ariosti Orlandum Furiosum interpretabitur auditoresque in Italice loquendo exercebit, d. Ven. h. II—III.

Rossicam IWAN PAWLOWSKY, Consil. tit., qui 1) Grammaticam Rossicam tradet, duce libro suo, Russische Sprachlehre für Deutsche, d. Merc. et Ven. h. VIII—IX, adiunctis exercitationibus Rossice colloquendi; 2) interpretabitur carmen КРАСНЫЙ КАРБУНКУЛЪ (СОЧ. ЖУКОВСКАГО, ТОМЪ 2.), d. Sat. h. VIII—IX; 3) exercitationes instituet ex Germanico in Rossicum convertendi, ex Schillero Vol. VII, d. Mart h. IV—V et d. Jov. h. IX—X; 4) exercitationes ex Rossico in Germanicum vertendi, ex ПОѢЗДКА ВЪ РЕВЕЛЬ (СОЧ. МАРЛИНСКАГО), d. Lun. et Jov. h. IV—V.

Esthonicam DIETRICH HENRICUS JÜRGENSON, Consil. tit., qui 1) Linguae Esthonicae structuram grammaticam demonstrabit, sectionibus usurus passim electis ex libro Masingii, qui inscribitur Marahwa Näddala-Leht, Dorpati 1823, d. Merc. h. XI—XII; 2) exercitationes Pericoparum, quae cuique hebdomadi propriae sunt, disponendarum instituet, Esthonice tum scribendo tum colloquendo, d. Sat. h. XI—XII.

Anglicam JOHN DEDE, classis decimae, Beckford letters on Italy, Brux. 1836, interpretaturus, dd. Mart. et Ven. h. XI—XII.

Letticam BENJAMIN ROSENBERGER, a Consil. Publ., Ord. S. Wladim. class. quart. et S. Ann. class. tert. Eques exercitationes Lettice colloquendi instituet dd. Mart. et Ven. h. XI vel, si placet, aliis diebus horisque, libellum suum secuturus, Formenlehre der Lettischen Sprache, Mitau 1830.

* * *

Artium itidem magistri publici binis quisque horis gratis operam suam Studiosis dicabunt:

Musicam docebit NICOLAUS THOMSON, Colleg. Secr., dd. Merc. et Sat. h. VIII.

Artem saltandi DAVID TYRON, dd. Merc. et Sat. h. III.

Artem equitandi RUDOLPHUS DE DAUE, dd. Mart. et Ven. h. VIII.

Artem ichnographicam AUGUSTUS HAGEN, Consil. tit., d. Sat. h. II—IV.

Artis natandi magisterium vacat.

Artem arma tractandi magister vicarius A. MALSTRÖM.

Operis mechanici magistrum se offert BRUECKER, Mechanicus Univers. litt.

VI. INSTITUTA PUBLICA.

In Seminario Theologico omnes Ordinis Theol. Professores institutiones et exercitationes practicas quater per hebd. moderabuntur. De rebus ad hoc institutum pertinentibus adeant Studiosi F. BUSCHIUM, h. t. Decanum.

In Nosocomio academico exercitationes dirigent medicas TH. F. E. SAHMEN, chirurgicas NIC. PIROGOFF, obstetricias P. U. F. WALTER.

In Seminario Paedagogico et Philologico scholas methodologicas et practicas supra memoratas habebunt Directores C. F. NEUE, L. PRELLER et M. ROSBERG, quaternis per hebd. horis. De rebus ad hoc institutum pertinentibus adeant Studiosi PRELLERUM, h. t. rectionis negotia administrantem.

De Instituto rei rusticae Kusthofiano [illegible] adeant Directorem, FRID. SCHMALZIUM.

Bibliotheca academica aperietur dd. Merc. et Sat. h. [illegible]. Professoribus patet quotidie h. X—I et III—V tempore aestivo, hiberno h. III—IV. Si quis peregrinator Bibliothecam videre cupiat, Praefectum C. MORGENSTERN adeat.

Museum artis qui cupiunt videre, Directorem adeant L. PRELLERUM; qui Museum mineralogicum, Directorem M. DE ENGELHARDT; qui zoologicum, Directorem vic. VOLKMANN.

Apparatum physicae spectare cupientibus monstrabit Director F. PARROT; apparatum Chemiae Director F. GOEBEL; Theatrum anatomicum Director A. HUECK; Collectionem pathologicam Director VOLKMANN; Collectionem instrumentorum chirurgicorum Director NIC. PIROGOFF; Collectionem instrumentorum obstetriciorum Director P. U. F. WALTER; Collectionem formarum technologicarum Director F. SCHMALZ; architectonicarum Director M. JACOBI.

Speculam astronomicam monstrabit Director G. STRUVE cum administro GUIL. PREUSS, Colleg. Assess. et speculae astronomicae Observatore, Ord. S. Vladimiri class. IV Equite; Hortum botanicum Director A. BUNGE; Collectionem scholae ichnographicae Director HAGEN.
